γοῦν οὐδὲ πειρᾶται λέγειν, ἀπὸ ποίου χρόνου ἐπεχειρήθη. Οὕτω δὲ πάλαι ὀρυσσομένης τε καὶ ἐκφορουμένης τῆς ἀργυρίτιδος, κατανοήσατε τί μέρος οἱ ἐκβεβλημένοι σωροὶ τῶν αὐτοφυῶν τε καὶ ὑπαργύρων λόφων. 3. Οὐδὲ μὴν ὁ ἀργυρώδης τόπος εἰς μεῖόν τι συστελλόμενος, ἀλλ' ἀεὶ ἐπὶ πλεῖον ἐκτεινόμενος φανερός ἐστιν. Ἐν ᾧ γε μὴν χρόνῳ οἱ πλεῖστοι ἄνθρωποι ἐγένοντο ἐν αὐτοῖς, οὐδεὶς πώποτε ἔργου ἠπόρησεν, ἀλλ' ἀεὶ τὰ ἔργα τῶν ἐργαζομένων περιῆν. 4. Καὶ νῦν δὲ οἱ κεκτημένοι ἐν τοῖς μετάλλοις ἀνδράποδα, οὐδεὶς τοῦ πλήθους ἀφαιρεῖ, ἀλλ' ἀεὶ προσκτᾶται, ὁπόσα ἂν πλεῖστα δύνηται. Καὶ γὰρ δὴ ὅταν μὲν ὀλίγοι ὀρύσσωσι καὶ ζητῶσιν, ὀλίγα, οἶμαι, καὶ τὰ χρήματα εὑρίσκεται· ὅταν δὲ πολλοί, πολλαπλασία ἡ ἀργυρῖτις ἀναφαίνεται. Ὥστε ἐν μόνῳ τούτῳ, ὧν ἐγὼ οἶδα ἔργων, οὐδὲ φθονεῖ οὐδεὶς τοῖς ἐπισκευαζομένοις. 5. Ἔτι δὲ οἱ μὲν ἀγροὺς κεκτημένοι πάντες ἔχοιεν ἂν εἰπεῖν, ὁπόσα ζεύγη ἀρκεῖ εἰς τὸ χωρίον, καὶ ὁπόσοι ἐργάται· ἢν δ' ἐπὶ πλεῖον τῶν ἱκανῶν ἐμβάλλῃ τις, ζημίαν λογίζονται· ἐν δὲ τοῖς ἀργυρίοις ἔργοις πάντας δή φασιν ἐνδεῖσθαι ἐργατῶν.

aut τὰ ἔνεργα scribendum monuit Weiske. Equidem τὰ ἔργα præfero. E Parif. B. πάνυ addidi.

λόφων] Ribitt. *glebas* interpretatur, quasi βώλων esset scriptum.

3. ἀργυρώδης] Ante Stephanum erat ἀργυρόδης. Dicitur τόπος locus is, ubi venæ argentiferæ terræ in latitudinem diffunduntur.

4. ᾧ ἐγὼ οἶδα] Leunclavius cum Parif. B. ὧν ἐγὼ, Steph. πάντων ὧν ἐγὼ malebat. Cum Zeunio Weiske ἔργων refert ad φθονεῖ et vertit locum: *ne invidet quidem quisquam labores iis, qui plus materiæ et apparatus prospiciunt.* Sed ἐπισκευάζειν Xenophonti est *reparare, reficere.* Interdum *apparare, instruere* significat, ut Hellenicorum v. 3. 1. ἵππους ἐπεσκευασμένους καὶ τὰς ἀναβάτας ὡπλισμένους. In Cyrop. vii. 3. 1. τὰ χρήματα παραδεχομένους ἐν ζυγάστροις στήσαντας ἐφ' ἁμαξῶν ἐπισκευάσαι καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν, est composita imponere, *aufpacken.* In Hellenic. vii. 2. 18. ἀγοράσαντες δὲ καὶ ἐπισκευασάμενοι ὁπόσα ἐδύναντο ὑποζύγια νυκτὸς ἀπήεσαν, est commeatu imposito onerare. Unde apparet, ἔργα ἐπισκευαζόμενα h. l. intelligi debere quæ reficiuntur opera in argentifodinis antea deserta.

5. ἐμβάλλῃ τις] Idem verbum est sect. 39. In Œconomico xvii. 12. σκαλέας ἐμβάλλετε τῷ σίτῳ. Alias usitatum putabat Weiske ἐκβάλλειν de mittendis in agrum operis. Laudat loca N. T. hæc, Matthæi ix. 38. Joh. x. 4. Jac. ii. 25. Sed quid hæc ad Xenophontem?

ἀργυρίοις ἔργοις] Demosthenis locum in Midiana p. 85. ed. Spald. ubi sunt τὰ ἔργα τὰ ἀργύρεια apposuit Weiske, unde etiam h. l. malebat scriptum ἀργυρείοις.

πάντας δή φασιν] Mihi πάντες scribendum videtur, ut opponatur hoc

6. Καὶ γὰρ οὐδ᾽ ὥσπερ, ὅταν πολλοὶ χαλκοτύποι γένωνται, ἀξίων γενομένων τῶν χαλκευτικῶν ἔργων, καταλύονται οἱ χαλκοτύποι, καὶ οἱ σιδηρεῖς γε ὡσαύτως· καὶ ὅταν γε πολὺς σῖτος καὶ οἶνος γένηται, ἀξίων ὄντων τῶν καρπῶν, ἀλυσιτελεῖς αἱ γεωργίαι γίγνονται· ὥστε πολλοὶ, ἀφιέμενοι τοῦ τὴν γῆν ἐργάζεσθαι, ἐπ᾽ ἐμπορίας καὶ καπηλείας καὶ τοκισμοὺς τρέπονται. Ἀργυρίτις δὲ ὅσῳ ἂν πλείων φαίνηται, καὶ ἀργύριον πλεῖον γίγνηται, τοσούτῳ πλείονες ἐπὶ τὸ ἔργον τοῦτο ἔρχονται. 7. Καὶ γὰρ δὴ ἔπιπλα μὲν, ἐπειδὰν ἱκανά τις κτήσηται τῇ οἰκίᾳ, οὐ μάλα ἔτι προσωνοῦνται· ἀργύριον δὲ οὐδείς πω οὕτω πολὺ ἐκτήσατο, ὥστε μὴ ἔτι προσδεῖσθαι· ἀλλ᾽ ἤν τισι γένηται παμπληθὲς, τὸ περιττεῦον κατορύττοντες οὐδὲν ἧττον ἥδονται ἢ χρώμενοι αὐτῷ. 8. Καὶ μὴν ὅταν γε εὖ πράττωσιν αἱ πόλεις, ἰσχυρῶς οἱ ἄνθρωποι ἀργυρίου δέονται. Οἱ μὲν γὰρ ἄνδρες ἀμφὶ ὅπλα τε καλὰ καὶ ἵππους ἀγαθοὺς καὶ οἰκίας καὶ κατασκευὰς μεγαλοπρεπεῖς βούλονται δαπανᾶν· αἱ δὲ γυναῖκες εἰς ἐσθῆτα πολυτελῆ καὶ χρυσοῦν κόσμον τρέπονται. 9. Ὅταν τε αὖ νοσήσωσι πόλεις ἢ ἀφορίαις καρπῶν ἢ πολέμῳ, ἔτι καὶ πολὺ μᾶλλον, ἀργοῦ τῆς γῆς γιγνομένης, καὶ εἰς ἐπιτήδεια καὶ εἰς ἐπικούρους νομίσματος δέονται. 10. Εἰ δέ τις φήσειε, καὶ χρυσίον μηδὲν ἧττον χρήσιμον εἶναι ἢ ἀργύριον, τοῦτο μὲν οὐκ ἀντιλέγω· ἐκεῖνο μέντοι οἶδα, ὅτι καὶ χρυσίον, ὅταν

membrum antecedenti πάντες ἔχοιεν ἂν εἰπεῖν. Et ſect. initio erat οὐδεὶς τοῦ πλήθους ἀφαιρεῖ, ἀλλ᾽ ἀεὶ προσκτᾶται. Igitur certo ipſe Xenophon hoc ſciebat, non famam ſequebatur. Mecum ſentit Heindorf.

6. Καὶ γὰρ οὐδ᾽] Stephanus οὐχ ſcribi voluit, οὐδὲ editio Leuncl. poſterior dedit. Mihi Stephani ratio placet.

ὅταν πολλοὶ] Vulgatum οἱ πολλοὶ auctore Stephano et Leunclavio correxit Weiſke, addicente Pariſ. B.

σιδηρεῖς γε] Equidem δὲ ſcribendum cenſeo cum Heindorfio, ſolemni formula καὶ—δὲ in altero membro adjuncto priori.

πλείων φαίνηται] Vulgatum antea πλεῖον correxit Stephanus, firmante Pariſ. B.

8. ἀγαθοὺς τε] Ita vulgabatur ſcriptum, ſed τε importunum jam olim recte omiſit Caſtalio.

πολὺ παραφανῇ, αὐτὸ μὲν ἀτιμότερον γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ. 11. Ταῦτα μὲν οὖν ἐδήλωσα τούτου ἕνεκα, ὅπως θαρσοῦντες μὲν ὅτι πλείστους ἀνθρώπους ἐπὶ τὰ ἀργύρια ἄγωμεν, θαρσοῦντες δὲ κατασκευαζώμεθα ἐν αὐτοῖς, ὡς οὔτε ἐπιλειψούσης ποτὲ ἀργυρίτιδος, οὔτε τοῦ ἀργυρίου ἀτίμου ποτὲ ἐσομένου. 12. Δοκεῖ δέ μοι καὶ ἡ πόλις προτέρα ἐμοῦ ταῦτα ἐγνωκέναι. Παρέχει γοῦν ἐπὶ ἰσοτελείᾳ καὶ τῶν ξένων τῷ βουλομένῳ ἐργάζεσθαι ἐν τοῖς μετάλλοις.

Quomodo ex argentifodinis fructus ad rempublicam redire possit.

13. Ἵνα δὲ καὶ σαφέστερον περὶ τῆς τροφῆς εἴπω, νῦν διηγήσομαι, ὡς κατασκευασθέντα τὰ ἀργύρια ὠφελιμώτατ' ἂν εἴη τῇ πόλει. Ἀπ' αὐτῶν μὲν οὖν ἔγωγε, ἀφ' ὧν μέλλω λέγειν, οὐδέν τι ἀξιῶ θαυμάζεσθαι, ὡς δυσεύρετόν τι ἐξευρηκώς. Τὰ μὲν γὰρ, ὧν λέξω, καὶ νῦν ἔτι πάντες ὁρῶμεν, τὰ δὲ παροιχόμενα τῶν πραγμάτων κατὰ ταὐτὰ αὖ ἀκούομεν. 14. Τῆς μέντοι πόλεως πάνυ ἄξιον

10. *πολὺ παραφαίνῃ*] Miror verbum intactum ab Interpretibus, quod in *παραφανῇ* mutandum censeo. Activa enim forma Xenophon ita nuspiam usus esse reperitur. Ceterum paulo antea *τούτῳ μὲν οὐκ ἀντιλέγω* corrigebat Heindorf.

11. *ἄγωμεν — κατασκευαζώμεθα*] Conjunctivum prima dedit Editio Bryl. tertia.

12. *ἐπὶ ἰσοτελείᾳ*] Suidas: *ἀγράφου μετάλλου δίκη — ἕνεκα τοῦ τελεῖν τῷ δήμῳ εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου.* Demosthenes de falsa legatione pag. 435. *τί γὰρ δή ποτε Μοιροκλέα μὲν ἔκρινας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου.* quod deinde *παρεκλέγειν τὰ κοινὰ* dicit. Leges metallicas commemorat idem pag. 977. in oratione contra Pantænetum. Alias *ἰσοτέλεια* dicitur, quum peregrinus ad dignitatem *ἰσοτελοῦς* promovetur; quæ nescio an h. l. intelligi debeat, an potius, ut æquum *τέλος* pro metallo novo solvat peregrinus cum cive. Ceterum in æstimatione bonorum civis semper excipiebantur, quæ in metallis occupata exercebantur, teste Demosthene contra Phænipp. pag. 1044. ubi lex recitatur: *πλὴν τῶν ἐν τοῖς ἔργοις τοῖς ἀργυρείοις, ὅσα οἱ νόμοι ἀτελῆ πεποιήκασι.*

τῷ βουλομένῳ] Leunclavii emendationem vulgato *τῶν βουλομένων* cum Welsio substituit Zeune.

13. *περὶ τῆς τροφῆς*] Recte Weiske nimis breve hoc esse censet pro *περὶ τῆς πᾶσιν ἐντεῦθεν γενησομένης τροφῆς.*

τῶν πραγμάτων κατὰ ταὐτὰ ἂν ἀκούοιμεν] Vulgatum *πραγμάτων — ταῦτα ἂν ἀκούομεν* ita correxerat Steph. et Leuncl. Sed rectius *αὖ ἀκούομεν* cum Paris. B. dedi.

θαυμάσαι, τὸ αἰσθανομένην πολλοὺς πλȣτιζομένους ἐξ αὐτῆς ἰδιώτας, μὴ μιμεῖσθαι τȣ́τους. Πάλαι μὲν γὰρ δήπου οἷς μεμέληκεν, ἀκηκόαμεν, ὅτι Νικίας ποτὲ ὁ Νικηράτου ἐκτήσατο ἐν τοῖς ἀργυρίοις χιλίους ἀνθρώπους, οὓς ἐκεῖνος Σωσίᾳ τῷ Θρᾳκὶ ἐξεμίσθωσεν, ἐφ᾽ ᾧ ὀβολὸν μὲν ἀτελῆ ἑκάστȣ τῆς ἡμέρας ἀποδιδόναι, τὸν δ᾽ ἀριθμὸν ἴσους ἀεὶ παρεῖχεν. 15. Ἐγένετο δὲ καὶ Ἱππονίκῳ ἑξακόσια ἀνδράποδα κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἐκδεδομένα, ἃ προσέφερε μνᾶν ἀτελῆ τῆς ἡμέρας· Φιλημονίδῃ δὲ τριακόσια ἡμιμναῖον· ἄλλοις δέ γε, ὡς, οἴομαι, δύναμις ἑκάστοις ὑπῆρχεν. 16. Ἀτὰρ τί τὰ παλαιὰ δεῖ λέγειν;

14. ἐξ αὐτῆς] Stephanus αὐτῆς edidit primus, quem sequitur Leunclavius.

οἷς μεμέληκεν] Zeune dictum ait pro οἷς περὶ τούτων μεμ. *quibus ea res curæ fuit*, ut vertit Ribitt. contra Weiske interpretatur: *illi de nobis* (nostrum,) *qui ista curarunt*.

Σωσίᾳ] In Memorab. ii. 5. 2. est: Νικίας λέγεται ἐπιστάτην εἰς τἀργύρια πρίασθαι ταλάντου. Cf. Plutarchi Niciam c. 4. Athenæus vi. p. 272. h. l. ita laudat: χιλίους ἔχων οἰκέτας ἐμίσθωσεν αὐτοὺς εἰς τὰ ἀργυρεῖα Σωσίᾳ τῷ Θρᾳκὶ, ἐφ᾽ ᾧ ὀβολὸν ἕκαστον τελεῖν τῆς ἡμέρας.

ἐφ᾽ ᾧ ὀβολὸν] Weiske conjecit scribendum ἐφ᾽ ᾧ τὸν μὲν ὀβολὸν, ut τὸν ad Sosiam referatur. ἀτελῆ recte interpretatur *integrum obolum, de quo nihil in publicum neque in servos alendos ipsi Niciæ esset numerandum, einen Obolus reinen Gewinnst*. Sic iterum est sect. 15. et 23. Ceterum Æschines c. Timarch. p. 118. οἰκέτην δημιουργὸν τῆς σκυτοτομικῆς memorat, qui duos obolos singulis diebus domino reddebat, ἀπέφερε τῆς ἡμέρας, ὁ δὲ ἡγεμὼν τοῦ ἐργαστηρίου triobolum reddebat ibid. p. 118.

ἴσους ἀεὶ] Miror, vulgatum ἴσως, quod alienum est ab h. l., interpretes silentio approbasse.

παρεῖχεν] παρέχειν Leunclavius correxit, quem cum Welsio sequitur Zeune. Sed duram conditionem si significare voluisset Xenophon, verbo utendum fuerat, quod *redhibere* significet.

15. Ἱππονίκῳ] Hipponicum Calliæ filium, Ammonem cognominatum, intelligit Zeune. De Callia ipso est locus præclarus Theophrasti de Lapidibus p. 400. ed. Heinsii, de cinnabari invento: Καταδεῖξαι δέ φασι καὶ εὑρεῖν τὴν ἐργασίαν Καλλίαν τὸν Ἀθηναῖον ἐκ τῶν ἀργυρείων, ὃς οἰόμενος ἔχειν τὴν ἄμμον χρυσίον, διὰ τὸ λαμπυρίζειν, ἐπραγματεύετο καὶ συνέλεγεν· ἐπεὶ δ᾽ ᾔσθετο, ὅτι οὐκ ἔχει, τὸ δὲ τῆς ἄμμου κάλλος ἐθαύμαζε διὰ τὴν χρόαν, οὕτως ἐπὶ τὴν ἐργασίαν ἦλθε ταύτην. Οὐ παλαιὸν δ᾽ ἐστὶν, ἀλλὰ περὶ ἔτη μάλιστα ἐνενήκοντα εἰς ἄρχοντα Πραξίβȣλον Ἀθήνῃσι. quem locum Plinius xxxiii. sect. 37. interpretatus annum urbis posuit 349. Hinc lux Harpocrationi in χρυσοχοεῖν:—ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν τῷ Ὑμηττῷ χρυσοῦ ψῆμα πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐξῄεσαν ἐπ᾽ αὐτούς. ἄπρακτοι δ᾽ ὑποστρέψαντες καὶ μάτην κακοπεπαθηκότες ἔσκωπτον ἀλλήλȣς λέγοντες, σὺ δ᾽ ᾤου χρυσοχοήσειν.

ἡμιμναῖον] Vulgatum ἡμιμναῖα correxit Leuncl. Vulgatæ vitium expressit Ribitt. *trecentas semiminas* ponens: nec viderat Hemsterhusius, cum annotationem scriberet ad Pollucis p. 1020. monente Weiskio.

ὡς, οἴομαι] Weiske censuit scribendum, ὡς δύναμις, οἶμαι, ἑκάστοις ὑπῆρχεν.

καὶ γὰρ νῦν πολλοί εἰσιν ἐν τοῖς ἀργυρίοις ἄνθρωποι οὕτως ἐκδεδομένοι. 17. Περαινομένων γε μὴν ὧν λέγω, τοῦτ' ἂν μόνον καινὸν γένοιτο, εἰ, ὥσπερ οἱ ἰδιῶται κτησάμενοι ἀνδράποδα πρόσοδον ἀέναον κατεσκευασμένοι εἰσὶν, οὕτω καὶ ἡ πόλις κτῷτο δημόσια ἀνδράποδα, ἕως γίγνοιτο τρία ἑκάστῳ Ἀθηναίων. 18. Εἰ δὲ δυνατὰ λέγομεν, καθ' ἓν ἕκαστον αὐτῶν σκοπῶν ὁ βουλόμενος κρινέτω. Οὐκοῦν τιμὴν μὲν ἀνθρώπων εὔδηλον ὅτι μᾶλλον ἂν τὸ δημόσιον δύναιτο ἢ οἱ ἰδιῶται παρασκευάσασθαι. Τῇ γε μὴν βουλῇ ῥᾴδιον καὶ κηρύξαι, ἄγειν τὸν βουλόμενον ἀνδράποδα, καὶ τὰ προσαχθέντα πρίασθαι. 19. Ἐπειδὰν δὲ ὠνηθῇ, τί ἂν ἧττον μισθοῖτό τις παρὰ τοῦ δημοσίου ἢ παρὰ τοῦ ἰδιώτου, ἐπὶ τοῖς αὐτοῖς μέλλων ἕξειν; Μισθοῦνται γοῦν καὶ τεμένη καὶ ἱερὰ καὶ οἰκίας, καὶ τέλη ὠνοῦνται παρὰ τῆς πόλεως. 20. Ὅπως γε μὴν τὰ ὠνηθέντα σώζηται, τῷ δημοσίῳ ἔστι λαμβάνειν ἐγγύους παρὰ τῶν μισθουμένων, ὥσπερ καὶ παρὰ τῶν ὠνουμένων τὰ τέλη. Ἀλλὰ μὴν καὶ ἀδικῆσαί γε ῥᾷον τῷ τέλος πριαμένῳ ἢ τῷ ἀνδράποδα μισθουμένῳ. 21. Ἀργύριον μὲν γὰρ πῶς καὶ φωράσειεν ἄν τις τὸ δημόσιον ἐξαγόμενον, ὁμοίου τοῦ ἰδίου ὄντος αὐτῷ; ἀνδράποδα δὲ σεσημασμένα τῷ δημοσίῳ σημάντρῳ, καὶ προσκειμένης ζημίας τῷ τε πωλοῦντι καὶ τῷ ἐξάγοντι, πῶς ἄν τις ταῦτα κλέψειεν; Οὐκοῦν μέχρι μὲν τούτου

17. *δημόσια*] Ita Aldina, *δημοσίᾳ* reliquæ Edd. pr. Tria mancipia vult ſcriptor a cive unoquoque non poſſideri, ſed conduci, publicis locatoribus numerata pecunia, uti monet Weiſke.

18. *προσαχθέντα*] Ante Stephanum erat *προσεχθέντα*: emendationem firmat Pariſ. B.

20. *ἐγγύους*] Edd. pr. *ἀγγύους* correxit Caſtalio et Brodæus. *ἐγγύας* maluit Leuncl. Ita paulo poſt *μέλη* erat, ubi Brodæus *τέλη* ſcribi juſſit cum Pariſ. C.

21. *μὲν γὰρ πῶς καὶ*] Ita recte Leuncl. editio poſterior habet, quam ſcripturam damnans Zeune vetuſtum *γάρ πως* ſine ſigno interrogationis revocavit. Turbari ait ita ſenſum; credo equidem lectoris alibi animum occupatum habentis. Et tamen hoc edicto ſuo traxit in partes ſuas Weiſkium!

σεσημασμένα — σημάντρῳ] Notam inuſtam interpretatur Zeune, haud ſcio an male. De *στιγματίαις* ſervis laudat Athenæum p. 658.

δυνατὸν φανεῖται τῇ πόλει εἶναι τὸ ἀνθρώπους καὶ κτήσασθαι καὶ φυλάξαι. 22. Εἰ δ' αὖ τις τοῦτ' ἐνθυμεῖται, ὡς, ἐπειδὰν πολλοὶ ἐργάται γένωνται, πολλοὶ φανοῦνται καὶ οἱ μισθωσόμενοι, ἐκεῖνο κατανοήσας θαῤῥείτω, ὅτι πολλοὶ μὲν τῶν κατεσκευασμένων προσμισθώσονται τοὺς δημοσίους (πολλὰ γάρ ἐστι τὰ ὑπάρχοντα,) πολλοὶ δ' εἰσὶ καὶ αὐτῶν τῶν ἐν τοῖς ἔργοις γηρασκόντων, πολλοὶ δὲ καὶ ἄλλοι Ἀθηναῖοί τε καὶ ξένοι, οἳ τῷ σώματι μὲν οὔτε βούλοιντ' ἂν, οὔτε δύναιντ' ἂν ἐργάζεσθαι, τῇ δὲ γνώμῃ ἐπιμελούμενοι ἡδέως ἂν τὰ ἐπιτήδεια πορίζοιντο. 23. Ἢν γε μέντοι τὸ πρῶτον συστῇ διακόσια καὶ χίλια ἀνδράποδα, εἰκὸς ἤδη ἀπ' αὐτῆς τῆς προσόδου ἐν ἔτεσι πέντε ἢ ἓξ μὴ μεῖον αὐτῇ ἑξακισχιλίων γενέσθαι. Ἀπό γε μὴν τούτου τοῦ ἀριθμοῦ, ἢν ὀβολὸν ἕκαστος ἀτελῆ τῆς ἡμέρας φέρῃ, ἡ μὲν πρόσοδος ἑξήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ.

ἐφάνη—εἶναι τὸ] Ita Edd. pr. ſcripturam φανῆναι—εἶναί τι correxit Leunclavius, in qua tamen emendatione germaniſmum ἐφάνη pro φαίνεται illi imputavit Weiſke. Equidem e Pariſ. B. φανεῖται dedi.

22. μισθωσόμενοι] Hanc Stephani emendationem vulgato μισθωσάμενοι prætuli, quod tamen ſecutus eſt Weiſke, *qui locare velint* vertit Ribitti, recte Fabiani *voranno prendere a ſoldo.* Sed hoc diſputationi auctoris non convenire monet Weiſke, quia ſic nihil opponeretur, ſed pro ratione potius auctoris afferretur argumentum. Portus objectionis vim in eo ponit, quod oriturus ſit tumultus et confuſio; ſed hoc nihili eſſe monet Weiſke, qui ipſe ſic interpretatur: *ubi multi operarii fuerint, multi etiam reperientur, qui eos conduxerint.* Objicere enim ſcriptorem, ubi magna illa operarum, quibus opus ſit, multitudo adducta fuerit, eo ipſo fore, qui ſuos habeant conductos, neque indigeant ſervis publicis. Quam equidem rationem non magis quam græca intelligo. Mihi, negatione inſerta ante πολλοὶ, objectionis ſenſus manifeſtus reddi videtur: ἐπειδὰν πολλοὶ ἐργάται γένωνται, οὐ πολλοὶ φανοῦνται καὶ οἱ μισθωσόμενοι. i. e. Si quis fortaſſe timeat, ne, ubi multi ſervi adducti fuerint, tam multi non ſint, qui eos conducere velint, is reputet velim, præter eos, qui ad opera ſua publicis ſervis opus habebunt, eſſe etiam ex ſervis multos, qui cum in metallis conſenuerint, aliis ſervis conductis præeſſe malint, atque ita victum quærere: eſſe etiam cives Athenienſes et peregrinos, qui vel corpore minus valentes vel laborem detrectantes ſervos conductos ad opus metallicum vel ad fabricam adhibere malint. Video nunc, Heindorfium mecum ſentire, præterquam quod ille πῶς, ἐπειδὰν malebat.

τὰ ὑπάρχοντα] venam argenti, τὴν ἀργυρῖτιν, interpretatur Weiſke.

γνώμῃ ἐπιμελούμενοι] Compara Memorab. ii. 8. 1—3.

23. εἰκὸς] Ad calculos hæc revocavit Weiſke, ita ut poneret ſervi pretium minam fere, (cf. Memorab. ii. 5. 2.) talentum obolorum 36,000. ſeu minarum 60. annum vero Atticum dierum 360. cum Zeune ſumſiſſet dies 365.

24. Ἀπὸ δὲ τούτων ἢν εἰς ἄλλα ἀνδράποδα τιθῆται εἴκοσι, τοῖς τεσσαράκοντα ἤδη ἐξέσται τῇ πόλει χρῆσθαι εἰς ἄλλο, ὅ τι ἂν δέῃ. Ὅταν δέ γε μύρια ἀναπληρωθῇ, ἑκατὸν τάλαντα ἡ πρόσοδος ἔσται. 25. Ὅτι δὲ δέξεται πολλαπλάσια τούτων, μαρτυρήσαιεν ἄν μοι, εἴ τινες ἔτι εἰσὶ τῶν μεμνημένων, ὅσον τὸ τέλος εὕρισκε τῶν ἀνδραπόδων πρὸ τῶν ἐν Δεκελείᾳ. Μαρτυρεῖ δὲ κἀκεῖνο, ὅτι, εἰργασμένων ἀνθρώπων ἐν τοῖς ἀργυρίοις ἐν τῷ παντὶ χρόνῳ ἀναριθμήτων, νῦν οὐδὲν διαφέρει τὰ ἀργύρια ἢ ἃ οἱ πρόγονοι ἡμῶν ὄντα ἐμνημόνευον αὐτά. 26. Καὶ τὰ νῦν δὲ γιγνόμενα πάντα μαρτυρεῖ, ὅτι οὐκ ἄν ποτε πλείω ἀνδράποδα ἐκεῖ γένοιτο, ἢ ὅσων ἂν τὰ ἔργα δέηται. Οὔτε γὰρ βάθους πέρας οὔτε ὑπονόμων οἱ ὀρύττοντες εὑρίσκουσι. 27. Καὶ μὴν καινοτομεῖν γε οὐδὲν ἧττον ἔξεστι νῦν ἢ πρότερον. Οὐ τοίνυν οὐδ' εἰπεῖν ἂν ἔχοι εἰδὼς οὐδεὶς, πότερον ἐν τοῖς κατατετμημένοις πλείων ἀργυρῖτις ἢ ἐν τοῖς ἀτμήτοις ἐστί. 28. Τί δῆτα, φαίη ἄν τις, οὐ καὶ νῦν, ὥσπερ ἔμπροσθεν,

24. τιθῆται] Vulgatum antea τίθεται correxit Stephanus, addicente Parif. B. Deinceps vulgatum ἄλλ' ὅτι correxit Caftalio.

25. τὸ τέλος εὕρισκε] quanti vendebantur vectigalia ex fervis locatis. Male enim Leunclavium ad εὕρισκε intelligere ἡ πόλις, monuit Zeune. Ita Polybio in Excerptis Legat. 104. τὸ ἐλλιμένιον dicitur εὑρίσκειν ἑκατὸν μυριάδας δραχμῶν. Ariftoteles Œcon. 2. ἐποίησε τὸ ἐλλιμένιον εὑρεῖν τὸ διπλάσιον. Cf. ad Memorab. ii. 5. 5.

τῶν ἐν Δεκελείᾳ] Ex his annum 4. Olympiadis 91. collegit Zeune, quo, tradente Thucydide vii. 2. viginti millia fervorum ad hoftes transfugerunt, alii Sunium caftellum occuparunt, referente Athenæo vi. p. 263. Cum vero fcriptor addiderit εἴ τινες εἰσὶ τῶν μεμνημένων, apparet, 40 vel 50 annis poftea librum fcriptum effe. Hoc tamen a fpecie veri multum abhorrere vifum eft Weifkio. Igitur in annotatione ad h. l. fateri maluit, fe nefcire, quæ fint τὰ ἐν Δεκελείᾳ, quam ab opinione difcedere ea, qua ftatuit, librum hunc fcriptum effe anno 3. Olympiadis 89. poft primam pacem, qua bellum Peloponnefiacum compofitum videbatur, a Xenophonte juvene, tum annum ætatis 23. agente.

26. ὅσων] Aldina ὅσον habet. Sequens δέηται pro δεῖται debes Heindorfio, ὑπονόμων vero Leunclavio. Edd. pr. ὑπὸ νόμον, Stephanus ὑπόνομον habent. Parif. B. ὑπὸ νόμων.

27. καινοτομεῖν] Hefychius καινοτομεῖν interpretatur λατομεῖν, τέμνειν, ad quem Photii locus ex MSto allatus habet rectius καινὴν λατομίαν τέμνειν κυρίως. Sequens ἧττον ex Caftalione, addicente Parif. B. recepit cum Welfio Zeune. Item deinceps πότερον pro πρότερον primus edidit Stephanus.

κατατετμημένοις] Demofthenes c. Pantænetum p. 977. ex legibus metallicis refert: ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐντός. ubi cum Wolfio ἐκτὸς fcribendum eft.

πολλοὶ καινοτομοῦσιν; Ὅτι πενέστεροι μέν εἰσιν οἱ περὶ τὰ μέταλλα· νεωστὶ γὰρ πάλιν κατασκευάζονται· κίνδυνος δὲ μέγας τῷ καινοτομοῦντι. 29. Ὁ μὲν γὰρ εὑρὼν ἀγαθὴν ἐργασίαν, πλούσιος γίγνεται· ὁ δὲ μὴ εὑρὼν, πάντα ἀπόλλυσιν, ὅσα ἂν δαπανήσῃ. Εἰς τοῦτον οὖν τὸν κίνδυνον οὐ μάλα πως ἐθέλουσιν οἱ νῦν ἰέναι. 30. Ἐγὼ μέντοι ἔχειν μοι δοκῶ καὶ περὶ τούτου συμβουλεῦσαι, ὡς ἂν ἀσφαλέστατα καινοτομοῖτο. Εἰσὶ μὲν γὰρ δήπου Ἀθηναίων δέκα φυλαί· εἰ δὲ ἡ πόλις δοίη ἑκάστῃ αὐτῶν ἴσα ἀνδράποδα, αἱ δὲ κοινωσάμεναι τὴν τύχην καινοτομοῖεν· οὕτως ἂν, εἰ μία εὕροι, πάσαις ἂν λυσιτελὲς ἀποδείξειεν. 31. Εἰ δὲ δύο ἢ τρεῖς ἢ τέτταρες ἢ αἱ ἡμίσειαι εὕροιεν, δῆλον ὅτι λυσιτελέστερα ἂν τὰ ἔργα ταῦτα γίγνοιτο. Τό γε μὴν πάσας ἀποτυχεῖν, οὐδενὶ τῶν παρεληλυθότων ἐοικός. 32. Οἷόν τε δὴ, οὕτως καὶ ἰδιώτας συνισταμένους καὶ κοινουμένους τὴν τύχην ἀσφαλέστερον κινδυνεύειν. Μηδὲν μέντοι τοῦτο φοβεῖσθε, ὡς ἢ τὸ δημόσιον οὕτω κατασκευαζόμενον παραλυπήσῃ τοὺς ἰδιώτας, ἢ οἱ ἰδιῶται τὸ δημόσιον· ἀλλ᾽ ὥσπερ σύμμαχοι, ὅσῳ ἂν πλείους συνιῶσιν, ἰσχυροτέρους ἀλλήλους ποιοῦσιν, οὕτω καὶ ἐν τοῖς ἀργυρίοις ὅσῳ περ ἂν πλείους ἐργάζωνται,

28. *νεωστὶ γὰρ πάλιν κατασκευάζονται*] Memorabilis locus ad hiſtoriam rei metallicæ Atticæ, ſi de tempore ſcripti libelli conſtet. Vide ad ſect. 40.

31. *ὅτι λυσιτελέστερα*] Heindorf *ἔτι* interſerendum conjiciebat.

32. *Οἷόν τε δὴ*] Leuncl. *δὲ*, Stephanus *οἴομαι δὴ* vel *οἴομαι δὲ* corrigebat. Exemplum et ipſe deſidero dictionis *οἷόν τε* initio periodi poſitæ.

φοβεῖσθαι] Stephanus *δεῖ* vel *χρὴ* addi, aut *φοβεῖσθε* ſcribi voluit, probante Weiſkio.

τόσῳ πλείονα] Stephani conjecturam ſubſtitui vulgato *πλεῖον*, quod Weiſke ait poſitum eſſe pro *ῥᾷον* aut *μᾶλλον*. Pro comparatione, inquit, inſtituta ſocii in bello unam habent cauſam, unum quærunt bonum, victoriam; ſic in metallis homines junctis viribus quærunt *τἀγαθὰ*, non *πλείονα τἀγαθὰ*, quod Stephano ſcribendum videbatur. Ejuſmodi acumine licebit omne ſolœciſmi crimen obtundere!

καὶ φορήσουσι] Quærit Weiſke, quid ſibi velit diſtinctio hæc, *εὑρήσουσι καὶ φορ.* ſuſpicatur igitur, *φορεῖν* eſſe præbere alteri. Senſum bene perſpexit vir doctus. Significatur enim ita communio operis ſuſcepti a tribubus decem. *πορίσουσι* conjecit. V. D. in cenſura Editionis Weiſkianæ Halenſi.

K 2

τόσῳ πλείονα τἀγαθὰ εὑρήσουσί τε καὶ φορήσουσι. 33. Καὶ ἐμοὶ μὲν δὴ εἴρηται, ὡς ἂν ἡγοῦμαι κατασκευασθείσης τῆς πόλεως ἱκανὴν ἂν πᾶσιν Ἀθηναίοις τροφὴν ἀπὸ κοινοῦ γενέσθαι.

Reſpondetur ad ea, quæ quis modo dictis et ſuperioribus opponat.

34. Εἰ δέ τινες, λογιζόμενοι παμπόλλης ἂν δεῖν ἀφορμῆς εἰς ταῦτα πάντα, οὐχ ἡγοῦνται ἱκανὰ ἄν ποτε χρήματα εἰσενεχθῆναι, μηδὲ οὕτως ἀθυμούντων. 35. Οὐ γὰρ οὕτως ἔχει, ὡς ἀνάγκη ἅμα πάντα ταῦτα γίγνεσθαι, ἢ μηδὲν ὄφελος αὐτῶν εἶναι· ἀλλ' ὁπόσα ἂν ἢ οἰκοδομηθῇ, ἢ ναυπηγηθῇ, ἢ ἀνδράποδα ὠνηθῇ, εὐθὺς ταῦτα ἐν ὠφελείᾳ ἔσται. 36. Ἀλλὰ μὴν καὶ τῇδέ γε συμφορώτερον τὸ κατὰ μέρος ἢ τὸ ἅμα πάντα πράττεσθαι. Οἰκοδομοῦντες μὲν γὰρ ἀθρόοι πολυτελέστερον ἂν καὶ κάκιον ἢ κατὰ μέρος ἀποτελοῖμεν· ἀνδράποδα δὲ παμπληθῆ ζητοῦντες ἀναγκαζοίμεθ' ἂν καὶ χείρω καὶ τιμιώτερα ὠνεῖσθαι. 37. Κατά γε μὴν τὸ δυνατὸν περαίνοντες, τὰ μὲν καλῶς γνωσθέντα καὶ αὖθις ἂν ἀνύοιμεν· εἰ δέ τι ἁμαρτηθείη, ἀπεχοίμεθα ἂν αὐτοῦ. 38. Ἔτι δὲ, πάντων ἅμα γιγνομένων, ἡμᾶς ἂν ἅπαντα δέοι ἐκπορίζεσθαι· εἰ δὲ τὰ μὲν περαίνοιτο, τὰ δὲ μέλλοι, ἡ ὑπάρχουσα πρόσοδος τὸ ἐπιτήδειον συγκατασκευάζοι ἄν. 39. Ὃ δὲ ἴσως φοβερώτατον

34. μηδὲ οὕτως] Ita Leunclavii poſterior pro μηδ' οὕτως. Deinde ſect. 35. ναυπηγῇ male dedit Caſtalio.

36. τῇδέ γε] In Leuncl. poſteriore δὲ omiſſum eſt.

Οἰκοδομοῦντες μὲν γὰρ] Ita cum Caſtalione ſcripſi. Vulgo eſt οἰκοδομοῦντές τε γάρ. Weiſke in ſequentibus ἀνδράποδά τε ſcribere maluit.

καὶ κάκιον] Cum Weiſkio Stephani rationem prætuli; vulgatum καὶ κάλλιον in καὶ οὐ κάλλιον auctore Camerario mutavit Leuncl. et Zeune.

ἀποτελοῖμεν] Ita pro ἀποτελοῖεν ſcribi juſſit Stephanus.

37. καλῶς γνωσθέντα] Weiſke ſuſpicatur medium ἔχειν excidiſſe. Sed quum ſequens ἂν ἀνύοιμεν ſit e mera conjectura Caſtalionis poſitum, de ſenſu loci non tutum eſt decernere. Edd. pr. cum Pariſ. B. habent ἡμῖν οἰόμεθα, unde Stephanus μιμοίμεθα, Camerarius ὠνοίμεθα vel ποιοίμεθα efficiebat.

38. ἐκπορίζεσθαι] Ex prima Stephaniana vitioſum ἐμπορίζεσθαι irrepſit in Leunclavianas.

δοκεῖ πᾶσιν εἶναι, μὴ, εἰ ἄγαν πολλὰ κτήσαιτο ἡ πόλις ἀνδράποδα, ὑπεργεμισθῇ ἂν τὰ ἔργα· καὶ τούτου τοῦ φόβου ἀπηλλαγμένοι εἴημεν, εἰ μὴ πλείονας ἀνθρώπους, ἢ ὅσους αὐτὰ τὰ ἔργα προσαιτοίη, κατ' ἐνιαυτὸν ἐμβάλοιμεν. 40. Οὕτως ἔμοιγε δοκεῖ, ᾗπερ ῥᾷστον, ταύτῃ καὶ ἄριστον εἶναι ταῦτα πράττειν. Εἰ δ' αὖ διὰ τὰς ἐν τῷ νῦν πολέμῳ γεγενημένας εἰσφορὰς νομίζετ' ἂν μηδ' ὅ τι οὖν δύνασθαι εἰσενεγκεῖν, ὑμεῖς δὲ, ὅσα μὲν πρὸ τῆς εἰρήνης χρήματα εὕρισκε τὰ τέλη, ἀπὸ τοσούτων καὶ τὸ ἐπιὸν ἔτος διοικεῖτε τὴν πόλιν· ὅσα δ' ἂν ἐφευρίσκῃ διά τε τὸ εἰρήνην εἶναι, καὶ διὰ τὸ θεραπεύεσθαι μετοίκους καὶ ἐμπόρους, καὶ διὰ τὸ πλειόνων συναγειρομένων ἀνθρώπων πλείω

39. *ὑπεργεμισθῇ ἂν*] Mihi *ἂν* hoc ad ſequens *εἴημεν* retrahendum videtur. Fortaſſe etiam *ὑπεργεμισθείη* ſcribendum.

40. *ἐν τῷ νῦν—γεγενημένας*] Hinc patet, cur ſect. 28. dixerit *νεωστὶ γὰρ πάλιν κατασκευάζονται.* Atque hæc ipſa operis metallici in argentifodinis Atticis reſtauratio occaſionem mihi videtur dediſſe Xenophonti tam multa de metallis exercendis conſcribendi. Quod attinet ad *τὰς γεγενημένας εἰσφορὰς ἐν τῷ νῦν πολέμῳ*, videtur ſignificare, bellum adhuc durare, cum iſta ſcriberet auctor; *εἰσφορὰς* autem eaſdem intelligere, de quibus eſt cap. iii. ſect. 7. *ἐνθυμούμενος, ὡς πολλὰ μὲν εἰσήνεγκεν ἡ πόλις, ὅτε Ἀρκάσιν ἐβοήθει ἐπὶ Λυσιστράτου ἡγουμένου, πολλὰ δὲ ἐπὶ Ἡγησίλεω.* Par enim eſt in ejuſmodi cauſa et occaſione non vetuſtiſſima ſed recentiſſima quæque exempla commemorare, quæ plus valent ad animos audientium commovendos. Zeune intelligit bellum *nuperum* vel *proximum*, et quidem id, quo Lacedæmonii cum Athenienſibus ad Mantineam victi fuerunt. Bellum finitum arguit ſect. 40. *πρὸ τῆς εἰρήνης*, et ſtatim *διά τε τὸ εἰρήνην εἶναι.* Sed pax hæc pertinet ad mare pacatum. Clariſſimus eſt locus cap. v. ſect. 12. *γνώσεται καὶ ἐν τῷ νῦν χρόνῳ διὰ μὲν τὸν πόλεμον καὶ τῶν προσόδων πολλὰς ἐκλειπούσας καὶ τὰς εἰσελθούσας εἰς παντοδαπὰ πολλὰ καταδαπανηθείσας· ἐπεὶ δὲ εἰρήνη κατὰ θάλατταν γεγένηται, ηὐξημένας τε προσόδους, καὶ ταύταις ἐξὸν τοῖς πολίταις χρῆσθαι ὅ, τι βούλοιντο.*

νομίζετ' ἂν] Stephanus *νομίζοιτ'* maluit ſcribi, nulla juſta de cauſa. Weiſke vulgatum ait ineptum eſſe, quia cives non debeant *νομίζειν*, ſed ſcire et pronunciare, declarare, quid efficere poſſint. Quare ſuſpicatur, verbum aliquod excidiſſe, veluti *τοὺς πλουσίους.* Equidem hanc ſubtilitatem in ſcriptore non deſidero. Ceterum ad æſtimandas has *εἰσφορὰς* civium Atticorum lubet apponere locum Demoſthenis contra Æſchinem p. 367. *ἡ προτέρα βοήθεια ἡ εἰς Πύλας, ἣν μετὰ πλεόνων ἢ διακοσίων ταλάντων ἐποιήσασθ' ὑμεῖς, ἐὰν λογίσησθε τὰς ἰδίας δαπάνας τῶν στρατευσαμένων.*

ὑμεῖς δὲ] Cum Zeunio Weiſke *γε* præferebat.

εἰρήνης] Aldinæ *εἰρημένης* Camerarius defendebat, intellecto *εἰσφορᾶς.* Hanc duram et ineptam rationem merito deſeruit Zeune ſecutus Caſtalionem. Sequens *εὕρισκε* debetur Stephano pro vulgato *εὑρίσκετε.* Pariſ. B. *εὑρίσκει* dat. Male deinceps Caſtalio *ἐφευρίσκητε* dedit, ut oratio fieret ſimilis præcedenti *εὑρίσκετε.* Pariſ. B. *ἐφευρίσκει* dat.

διά τε τὸ] Hanc Caſtalionis ſcripturam vulgatæ *διὰ τὸ εἰρήνην τε* prætulit cum Zeunio Weiſke; haud ſcio an immeritam.

εἰσάγεσθαι καὶ ἐξάγεσθαι, καὶ διὰ τὸ ἐν λιμένι καὶ τὰς ἀγορὰς αὐξάνεσθαι, ταῦτα λαμβάνοντες κατασκευάζεσθε, ὡς ἂν πλεῖσται πρόσοδοι γίγνοιντο. 41. Εἰ δέ τινες αὖ φοβοῦνται, μὴ ματαία ἂν γένοιτο αὕτη ἡ κατασκευὴ, εἰ πόλεμος ἐγερθείη, ἐννοησάτωσαν, ὅτι, τούτων γιγνομένων, πολὺ φοβερώτερος ὁ πόλεμος τοῖς ἐπιφέρουσιν ἢ τῇ πόλει. 42. Τί γὰρ δὴ εἰς πόλεμον κτῆμα χρησιμώτερον ἀνθρώπων; πολλὰς μὲν γὰρ ναῦς πληροῦν ἱκανοὶ ἂν εἶεν δημοσίᾳ· πολλοὶ δ' ἂν καὶ πεζοὶ δημοσίᾳ δύναιντ' ἂν βαρεῖς εἶναι τοῖς πολεμίοις, εἴ τις αὐτοὺς θεραπεύοι.

43. Λογίζομαι δ' ἔγωγε, καὶ πολέμου γιγνομένου οἷόν τ' εἶναι μὴ ἐκλείπεσθαι τὰ ἀργύρια. Ἔστι μὲν γὰρ δήπου περὶ τὰ μέταλλα ἐν τῇ πρὸς μεσημβρίαν θαλάττῃ τεῖχος ἐν Ἀναφλύστῳ, ἔστι δ' ἐν τῇ πρὸς ἄρκτον τεῖχος ἐν Θορικῷ· ἀπέχει δὲ ταῦτα ἀπ' ἀλλήλων ἀμφὶ τὰ ἑξήκοντα στάδια. 44. Εἰ οὖν καὶ ἐν μέσῳ τούτων γένοιτο ἐπὶ

κατασκευάσασθε] Hoc ex margine Leuncl. dedit Zeune pro Aldino κατασκευάσθαι, quod Caſtalio in κατασκευάσασθαι mutavit. Pariſ. B. κατασκευάζεσθαι dat. Sequens πλεῖσται pro πλεῖστοι Zeune dedit, addicente Pariſ. B.

41. ἐγερθείη] Ita Aldinum ἀγερθείη correxit Caſtalio. Sequens ἐννοησάτωσαν conjecerat Stephanus, qui tamen ipſe cum Leuncl. edidit ἐννοησάτω pro Aldino ἐννοήσατο. Pariſ. B. ἐννοησάτω habet. Eadem forma eſt cap. v. ſect. 5. Attica eſt ἐννοησάντων.

42. εἶεν δημοσίᾳ] Aldinum εἶεν ἐν δημοσίᾳ correxit Stephanus, addicente Pariſ. B.

θεραπεύοι] Portus *det ſtipendium.* Weiſke *ſi quis iis hunc honorem habere velit*, vel potius *ſi quis eos leniter et humaniter tractet* interpretatur. Poſterior ratio vera mihi videtur.

43. ἐν τῇ πρὸς μησημβρίαν] Duo ſunt Atticæ litora, quibus circumdatur promontorium a ſeptentrione ad meridiem converſum et protenſum; horum unum obliquum occidenti, alterum fere rectum a Thorico uſque ad Rhamnuntem orienti obtenditur. Anaphlyſtus in litore occidentali verſus apicem promontorii in meridiem procurrentis poſitus erat; Thoricus in contrario litore, igitur orientali, ſed ſupra Anaphlyſtum, igitur magis verſus ſeptentrionem converſus, ſi ſitus ejus cum Anaphlyſto comparetur. Athenis hæc ita ſcribere non poterat auctor; tunc enim illi plane dicendus fuiſſet Thoricus ἐν τῇ πρὸς ἠῶ θαλάττῃ ſitus, uti dixit Herodotus, Atticæ litus alterum πρὸς τὴν ἠῶ, alterum πρὸς μεσημβρίην ſpectare. Hæc recte ad h. l. monuit Weiſke; unde colligitur, Xenophontem hæc extra Athenas Scillunte vel Corinthi degentem ſcripſiſſe.

Ἀναφλύστῳ] Pagus igitur hic pertinuit uſque ad mare; male in mediterraneis recenſeri a Ptolemæo monuit Weiſke. Vulgatum Ἀναφαύστῳ auctore Brodæo correxit Zeune.

ἀπέχει] per lineam obliquam ab inferiore Anaphlyſto ad ſuperiorem ſitu Thoricum ductam.

τῷ ὑψηλοτάτῳ Βήσης τρίτον ἔρυμα, συνήκοι τ' ἂν τὰ ἔργα εἰς ἓν ἐξ ἁπάντων τειχῶν, καὶ εἴ τι αἰσθάνοιτο πολεμικὸν, βραχὺ ἂν εἴη ἑκάστῳ εἰς τὸ ἀσφαλὲς ἀποχωρῆσαι. 45. Εἰ δὲ καὶ ἔλθοιεν πλείους πολέμιοι, δῆλον ὅτι, εἰ μὲν σῖτον ἢ οἶνον ἢ πρόβατα ἔξω εὕροιεν, ἀφέλοιντ' ἂν ταῦτα· ἀργυρίτιδος δὲ κρατήσαντες, τί ἂν μᾶλλον ἢ λίθοις ἔχοιεν χρῆσθαι; 46. Πῶς δὲ καὶ ὁρμήσειάν ποτε πολέμιοι πρὸς τὰ μέταλλα; Ἀπέχει μὲν γάρ δήπου τῶν ἀργυρίων ἡ ἐγγύτατα πόλις Μέγαρα πολὺ πλεῖον τῶν πεντακοσίων σταδίων· ἀπέχει δὲ ἡ μετὰ ταῦτα πλησιαίτατα Θῆβαι πολὺ πλεῖον τῶν ἑξακοσίων. 47. Ἢν οὖν πορεύωνται ἐντεῦθέν ποθεν ἐπὶ τὰ ἀργύρια, παριέναι αὐτοὺς δεήσει τὴν πόλιν· κἂν μὲν ὦσιν ὀλίγοι, εἰκὸς αὐτοὺς ἀπόλλυσθαι καὶ ὑπὸ ἱππέων καὶ ὑπὸ περιπόλων. Πολλῇ γε μὴν δυνάμει πορεύεσθαι ἐξερημοῦντας τὰ ἑαυτῶν χαλεπόν· πολὺ γὰρ ἐγγύτερον ἂν εἴη ταῖς πόλεσιν αὐτῶν τὸ

44. Βήσης] Vulgatum βήσσης, quod Stephanus dederat pro Aldino βήσσῃ, correxi, admonente Valefio ad Harpocrationem, intelligi Βῆσαν, δῆμον φυλῆς Ἀντιοχίδος. Nomen unico σ fcribi teftatur Strabo libro ix. p. 555. ed. Siebenk. Situm hic demum locus accuratiffime docet, unde inferere poterant et debebant, qui tabellas terræ Atticæ delinearunt. Incolas pagi Βησαιεῖς fæpius nominat Infcriptio Chandleri part ii. no. 107. p. 71. In Suida eft: Βησσεῖς, δῆμος τῆς Αντιοχίδος.

συνήκοι τ'] Vulgo legitur συνήκοιτ', quafi συνήκομαι dici poffit græce. De vitio admonuit etiam Heindorf.

τὰ ἔργα] οἱ ἐργάται, *operæ*, interpretatur Weifke. Sed operæ non erant occupatæ in caftellis, fed in argentifodinis. Igitur ἔργα funt ipfa metalla feu fodinæ.

46. ἡ ἐγγύτατα πόλις] Articulum addidi, quem fenfus flagitabat. In latere Atticæ occidentali nulla alia urbs Atticæ vicina magis quam Megara, unde incurfionem operæ in metallis occupatæ timere poterant. Megarenfes igitur et Thebanos recte nominat Xenophon. Sed Weifke hæc infervire voluit opinioni fuæ de tempore fcripti libelli anno 3. Olympiadis 89. quo bellum Peloponnefiacum interpofito fœdere ceffavit; quo tamen fœdere exclufos fuiffe Megarenfes, Thebanos, Eleos et Corinthios narrat Thucydides v. 24. Hinc Xenophontem merito Megarenfes et Thebanos nunc tanquam hoftes timere ait Weifke. Sed hic ftatim occurrit caftellum Thoricus, ex quo oppugnari poteft fententia viri docti. Xenophon enim in Hellenicis i. 2. 1. Ἀθηναῖοι μὲν Θορικὸν ἐτείχισαν, Olympiadis 92. anno 4. Thoricum munitum fuiffe tradit ab Athenienfibus. At nofter de caftello Thorici ita loquitur, ut res nova tum vifa non fuiffe videatur.

47. περιπόλων] Vulgatum περιπόδων cum Brodæo et Leunclavio correxit Zeune. Περίπολοι Attici qui fuerint, docet Pollux viii. 105. f. Memorab. iii. 5. 27. Iidem infra fect. 52. funt οἱ περιπολεῖν τὴν χώραν ταχθέντες.

τῶν Ἀθηναίων ἄστυ, ἢ αὐτοὶ πρὸς τοῖς μετάλλοις ὄντες. 48. Εἰ δὲ καὶ ἔλθοιεν, πῶς ἂν καὶ δύναιντο μένειν μὴ ἔχοντες τὰ ἐπιτήδεια; Ἐπισιτίζεσθαί γε μὴν μέρει μὲν, κίνδυνος καὶ περὶ τῶν μετιόντων καὶ περὶ ὧν ἀγωνίζονται· πάντες δὲ ἀεὶ μετιόντες πολιορκοῖντ' ἂν μᾶλλον ἢ πολιορκοῖεν. 49. Οὐ τοίνυν μόνον ἡ ἀπὸ τῶν ἀνδραπόδων εἰσφορὰ τὴν διατροφὴν τῇ πόλει αὔξοι ἂν, ἀλλὰ, πολυανθρωπίας περὶ τὰ μέταλλα ἀθροιζομένης, καὶ ἀπ' ἀγορᾶς τῆς ἐκείνου αὖ, καὶ ἀπ' οἰκιῶν περὶ τἀργύρια δημοσίων, καὶ ἀπὸ καμίνων, καὶ ἀπὸ τῶν ἄλλων ἁπάντων πρόσοδοι ἂν πολλαὶ γίγνοιντο. 50. Ἰσχυρῶς γὰρ καὶ αὕτη πολυάνθρωπος γένοιτο πόλις, εἰ οὕτω κατασκευασθείη· καὶ οἵγε χῶροι ὀυδὲν ἂν εἶεν μείονος ἄξιοι τοῖς κεκτημένοις ἐνταῦθα ἢ τοῖς περὶ τὸ ἄστυ. 51. Πραχθέντων γε μὴν ὧν εἴρηκα, ξύμφημι ἐγὼ, οὐ μόνον ἂν χρήμασιν εὐπορωτέραν τὴν πόλιν εἶναι, ἀλλὰ καὶ εὐπειθεστέραν καὶ εὐτακτοτέραν καὶ εὐπολεμωτέραν γενέσθαι. 52. Οἵ τε γὰρ ταχθέντες

αὐτοὶ πρὸς τοῖς] Articulum οἱ poſt αὐτοὶ vulgo interſertum monente Weiſkio delevi.

48. μετιόντων] τὸν σῖτον vel τὰ ἐπιτήδεια intelligit Weiſke.

περὶ ὧν] illis pro quibus, ſive pro qua altera ſuorum parte relicta. Ita ad h. l. Weiſke. Ita vero cogimur exiſtimare, τοὺς ἐπισιτιζομένους pugnare pro relictis in acie vel caſtris militibus. Κινδυνεύειν dicitur περί τινος; igitur ſimiliter h. l. eſt κίνδυνός ἐστι περὶ τῶν μετιόντων τὸν σῖτον; ſequi debebat καὶ περὶ τούτων, οἳ ἀγωνίζονται. Nunc vero brevius dictum περὶ ὧν ἀγωνίζονται.

49. ἡ ἀπὸ—εἰσφορὰ] Num ἀποφορὰν quotidie pendendam an potius operam in metallis præſtandam intelligi voluit?

τῆς ἐκείνου] τόπου intelligebat Zeune. τῆς ἐκεῖ οὔσης conjecit Leunclavius, τῆς ἐκεῖ που vel τῆς ἐκείνῃ Zeune. ἐκεῖ ἐσομένης expectabat Weiſke.

καμίνων] Repetendum δημοσίων eſſe, recte monuit Weiſke.

50. καὶ αὕτη] hæc quoque, ergo non Athenæ, quæ dicuntur h. l. ἄστυ. Loquitur igitur, cenſeo, de civitate iſto loco conſtituenda. Tertium τεῖχος medium inter Thoricum et Anaphlyſtum vult exſtrui. Hæc et plura ad h. l. Weiſke, qui tantas ineptias imputare Xenophonti quam loci vitium manifeſtum corrigere maluit. Scilicet καὶ ταύτῃ, etiam hac ratione, ſcribendum cenſeo.

οἱ χῶροι] agri, quorum fructus operis venduntur.

52. Οἵ τε γὰρ ταχθέντες] Sentit igitur ſcriptor cum auctore libelli de republica Athenienſium cap. i. ſect. 13. ubi eſt: ἐν ταῖς χορηγίαις αὖ καὶ γυμνασιαρχίαις γιγνώσκουσιν, ὅτι χορηγοῦσι μὲν οἱ πλούσιοι, χορηγεῖται δὲ ὁ δῆμος· καὶ τριηραρχοῦσι καὶ γυμνασιαρχοῦσιν οἱ πλούσιοι, ὁ δὲ δῆμος τριηραρχεῖται καὶ γυμνασιαρχεῖται. Ἀξιοῖ οὖν ἀργύριον λαμβάνειν ὁ δῆμος καὶ ᾄδων καὶ τρέχων καὶ ὀρχούμενος καὶ πλέων ἐν ταῖς ναυσίν. Ceterum aliis quærendam cauſam relinquo, quare certamen λαμ-

γυμνάζεσθαι, πολὺ ἂν ἐπιμελέστερον πράττοιεν τὰ ἐν τοῖς γυμνασίοις, τὴν τροφὴν ἀπολαμβάνοντες πλείω ἢ ἐν ταῖς λαμπάσι γυμνασιαρχούμενοι· οἵ τε φρουρεῖν ἐν τοῖς φρουρίοις, οἵ τε πελτάζειν καὶ περιπολεῖν τὴν χώραν, πάντα ταῦτα μᾶλλον ἂν πράττοιεν, ἐφ' ἑκάστοις τῶν ἔργων τῆς τροφῆς ἀποδιδομένης.

πάδος ſeu λαμπαδοφορίας ſanctius coluerint Athenienſes, aut potius quomodo inventi ſint plures, qui ſumtus præberent ad exercitationes eas, quæ præcedebant et requirebantur ad feſtum λαμπαδοφορίας celebrandum, quam ad reliqua feſta et certamina. Ceterum in Aldina, quam ſequitur Stephanus, eſt οἵ γε γὰρ, in Halenſi εἴ γε γάρ. Caſtalionem cum Leuncl. et Pariſ. B. ſequitur Zeune. Leunclavio debetur etiam τὰ ante ἐν τοῖς γυμνασίοις.

λαμπάσι] i. e. λαμπαδηφορίοις, de quibus Pauſanias i. 30. Scholia ad Ariſtophanis Veſpas verſu 1203. ubi eſt λαμπάδα δραμεῖν. Herodotus viii. 98. angaros Perſarum comparat cum iis, qui faces ferebant. Unde arguit Weiſke, ab ara Promethei uſque ad locum certum in urbe collocatos fuiſſe per ſtationes, qui curſu vel potius jactanda in curſu face et ſervanda flamma vellent contendere, et facem ardentem traditam per manus fuiſſe. Hyginus enim Aſtron. ii. 15. *inſtituerunt*, inquit, *ex Promethei conſuetudine, ut currerent lampada jactantes.* Horum ludorum curam habuiſſe regem archontem, ex Polluce viii. 90. annotat. Non ſoli autem Prometheo, ſed Vulcano etiam et Minervæ fuiſſe inſtitutos, item Pani; de hoc teſtari Herodotum vi. 105. de Vulcano Harpocrationem in Κεραμεικὸς, de Minerva Platonem de Republica i. p. 147. ubi eſt: οὐδ' ἴστε, ὅτι λαμπὰς ἔσται πρὸς ἑσπέραν ἀφ' ἵππων τῇ θεῷ; —λαμπάδια ἔχοντες διαδώσουσιν ἀλλήλοις ἁμιλλώμενοι τοῖς ἵπποις. Sed ibi non eſt de Minerva ſermo, ſed de Diana in feſto Βενδιδείοις culta. Cf. Ruhnkenii annotatio ad Timæum p. 62. Photii Lexicon MS. habet: Λαμπὰς ἀγὼν Ἀθήνῃσι Πανὶ καὶ Προμηθεῖ ἀγόμενος. Ab ara Promethei in Academia poſita exordiebantur curſum, teſte Pauſania l. c. Ariſtophanis in Ranarum verſu 131. Hercules Bacchum adſcendere turrem jubet in Ceramico vel prope poſitam, unde ſpectet ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν. Ceramicus vero fuit ante Academicam in latere ſiniſtro ſitus. Ex eodem Comici loco cognoſcimus, ſpectatores congregatos clamoribus poſtulaſſe initium λαμπαδηφορίας. Ibi enim eſt: ἐπειδὰν φῶσιν οἱ θεώμενοι εἶναι. Idem in Veſparum verſu 1204. λαμπάδα τρέχειν numerat inter certamina νεανικώτατα. In Ranis verſu 1087. queritur Æſchylus poeta: λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν ὑπ' ἀγυμνασίας ἔτι νυνί. qui locus inprimis pertinet ad hunc Xenophonteum illuſtrandum. Inter argumenta ὀψιμαθείας poſuit Theophraſtus Charact. x. (vulgo xxvii.) καὶ εἰς ἡρῷα συμβάλλεσθαι τοῖς μειρακίοις λαμπάδα τρέχων. De Minerva teſtantur. Scholia ad Pindari Olymp. xiii. 56. de Ellotiis Corinthiacis Minervæ celebratis in honorem: ἐν ᾗ καὶ ὁ ἀγὼν τελεῖται ὁ καλούμενος λαμπαδοδρομικὸς, ἐν ᾧ ἔτρεχον νεανίαι λαμπάδας κρατοῦντες. Plutarchus Solonis c. 1. de Atticis: οἱ τὴν ἱερὰν λαμπάδα διαθέοντες. Ariſtoteles vel ſi quis alius auctor Rhetoricæ ad Alexandrum c. 30. λαμπαδαρχίαν memorat addens: τούτων γὰρ οὐκ ἐλάχιστον μέρος τῷ νέῳ μέτεστι. Scholia Ariſtophanis ad Ranarum locum laudatum: Λαμπαδηδρομίαι δὲ γίνονται τρεῖς ἐν τῷ Κεραμεικῷ, Ἀθηνᾶς, Ἡφαίστου, Προμηθέως. Eadem Suidas in v. Λαμπὰς habet. Quæ Scholia ad Ranarum verſum 131. habent: Κεραμεικὸς τόπος τῆς Ἀττικῆς ὑψηλὸς, ὅπου ἐπετέλουν οἱ Ἀθηναῖοι κατ' ἔτος λαμπαδοῦχον ἀγῶνα, exſcripſit vitioſe Suidas in Κεραμεικός. Hæc quidem appoſui invitatus annotatione Weiſkiana: ſed nondum apparet, ad quem terminum perrexerint currentes; neque omnes, qui lampadas currebant, equis vecti eſſe videntur.

CAPUT V.

Ad tuenda vectigalia pace opus esse ostenditur.

1. Εἰ δὲ σαφὲς δοκεῖ εἶναι, ὡς, εἰ μέλλουσι πᾶσαι αἱ πρόσοδοι ἐκ πόλεως προσιέναι, ὅτι εἰρήνην δεῖ ὑπάρχειν, ἆρ' οὐκ ἄξιον καὶ εἰρηνοφύλακας καθιστάναι; Πολὺ γὰρ ἂν καὶ αὕτη αἱρεθεῖσα ἡ ἀρχὴ προσφιλεστέραν καὶ πυκνοτέραν εἰσαφικνεῖσθαι πᾶσιν ἀνθρώποις ποιήσειε τὴν πόλιν. 2. Εἰ δέ τινες οὕτω γιγνώσκουσιν, ὡς, ἐὰν ἡ πόλις εἰρήνην ἄγουσα διατελῇ, ἀδυνατωτέρα τε καὶ ἀδοξοτέρα καὶ ἧττον ὀνομαστὴ ἐν τῇ Ἑλλάδι ἔσται, καὶ οὗτοί γε, ὡς ἐμῇ δόξῃ, παραλόγως σκοποῦσιν. Εὐδαιμονέσταται μὲν γὰρ δήπου πόλεις λέγονται, αἳ ἂν πλεῖστον χρόνον ἐν εἰρήνῃ διατελῶσι· πασῶν δὲ πόλεων Ἀθῆναι μάλιστα πεφύκασιν ἐν εἰρήνῃ αὔξεσθαι. 3. Τίνες γὰρ, ἡσυχίαν ἀγούσης τῆς πόλεως, οὐ προσδέοιντ' ἂν αὐτῆς, ἀρξάμενοι ἀπὸ ναυκλήρων καὶ ἐμπόρων; οὐχ οἱ πολύσιτοι; οὐχ οἱ πολύοινοι; οὐχ οἱ ἡδύοινοι; τί δὲ οἱ πολυέλαιοι; τί δὲ οἱ πολυπρόβατοι; τί δὲ οἱ γνώμῃ καὶ ἀργυρίῳ δυνάμενοι χρηματίζεσθαι; 4. Καὶ μὴν χειροτέχναι γε καὶ σοφισταὶ

Cap. V. 1. καὶ πυκνοτέραν] in quam majori frequentia commigrent, interpretatur Weiske. Sed vocabulum manifesto vitiosum est. In eo enim, ut in προσφιλεστέραν, causa esse debet, cur frequentiores peregrini Athenas confluant, quam antea. Nunc vero causa cum effectu permutatur. Nec græce dici potest πόλις πυκνοτέρα εἰσαφικνεῖσθαι. Conjicio igitur, fuisse olim scriptum προσηνεστέραν aut ποθεινοτέραν.

2. καὶ οὗτοί γε] Hæc vitiosa mihi videntur. Primum copula καὶ abundat: deinde ὡς ἐμῇ δόξῃ græcum non est. Castalio ὡς ἐμοὶ δόξῃ edidit, in margine ὡς ἐμοὶ δοκεῖ melius apposuit. ὡς ἐμὴ δόξα maluit Zeune.

παραλόγως] Hæc est Leunclavii conjectura a Zeunio recepta, non valde probabilis. Aldinum παρ' ἀγγέλλω Castalio in margine mutavit in παρὰ τρόπον, Camerarius in παρὰ μέλος. Paris. B. παραγγεμω habet.

3. ἀρξάμενοι] Weiske ita ad h. l. Ita breviter hoc participium poni solet pro ἵνα δὲ περὶ πάντων λέγωμεν ἀρξάμενοι. Utinam exemplum apposuisset simile! Mihi vitiosa hæc videntur; sed emendatione distinctionis defunctus locum sanasse mihi videor. Vulgo enim legebatur ἂν αὐτῆς; ἀρξάμενοι—ἐμπόρων, οὐχ οἱ πολύσιτοι; Mecum sentit Heindorf, cujus annotationem vide ad Gorg. §. 60.

οἱ δὲ γνώμῃ καὶ ἀργυρίῳ] Recte Castalionem τί δὲ οἱ γνώμῃ scripsisse censeo. Ceterum Xenophon τοὺς γνώμῃ καὶ ἀργυρίῳ χρηματιζομένους dicit, quos breviter poterat ἀργυρογνώμονας: alii τραπεζίτας vocabant.

4. γε καὶ σοφισταὶ] Ab his verbis

καὶ φιλόσοφοι· οἱ δὲ ποιηταὶ, οἱ δὲ τὰ τούτων μεταχειριζόμενοι, οἱ δὲ ἀξιοθεάτων ἢ ἀξιακούστων ἱερῶν ἢ ὁσίων ἐπιθυμοῦντες, ἀλλὰ μὴν καὶ οἱ δεόμενοι πολλὰ ταχὺ ἀποδίδοσθαι ἢ πρίασθαι, ποῦ τούτων μᾶλλον ἂν τύχοιεν ἢ Ἀθήνησιν; 5. Εἰ δὲ πρὸς ταῦτα μὲν οὐδεὶς ἀντιλέγει, τὴν δὲ ἡγεμονίαν βουλόμενοί τινες ἀναλαβεῖν τῇ πόλει, ταύτην διὰ πολέμου μᾶλλον ἢ δι' εἰρήνης ἡγοῦνται ἂν καταπραχθῆναι, ἐννοησάτωσαν πρῶτον μὲν τὰ Μηδικὰ, πότερον βιαζόμενοι ἢ εὐεργετοῦντες τοὺς Ἕλληνας ἡγεμονίας τε τοῦ ναυτικοῦ καὶ Ἑλληνοταμίας ἐτύχομεν. 6. Ἔτι δ', ἐπεὶ ὠμῶς ἄγαν δόξασα προστατεύειν ἡ πόλις ἐστερήθη

usque ad finem Juntina et Paris. B. jungit libellum vel potius libelli fragmentum libro de republica Atheniensium. Vide ad cap. i. sect. 17. Paris. B. τε καὶ dat.

οἱ δὲ ποιηταὶ] Hic et deinceps ter τε scribendum censeo; neque enim ullum hujus usus particulæ δὲ exemplum in Xenophonte reperi.

τὰ τούτων μεταχειριζόμενοι] chorodidascalos, histriones, musicos, grammaticos nominat Weiske: addo rhapsodos.

ἱερῶν ἢ ὁσίων] Ubi junguntur ἱερὰ et ὅσια, hæc Grammatici solent interpretari ἰδιωτικὰ, βέβηλα, δημόσια. Ultimum probat Weiske et ablegat lectores ad Valckenarium ad Ammonium iii. 6. Igitur Leunclavii conjectura δημοσίων h. l. non opus est. Quæ sint Athenis ἀξιάκουστα ἱερὰ, quæ ἀξιοθέατα ὅσια, longum esset enarrare. Sed ἱερὰ ἀξιάκουστα præcipue fuerunt sacra Bacchica et Eleusinia, ad quæ spectanda et audienda maxima hominum multitudo semper Athenas confluxit. ὅσια ἀξιοθέατα fuerunt ædificia multa publica, quibus Pericles in primis urbem ornaverat. Cf. Plutarchi Pericles c. 12. sqq.

ἢ οὐ τούτων] Loci vitium solus agnovit Zeune, et scribi voluit: ποῦ δὴ vel ἧπου — τύχοιεν ἢ Ἀθήνησιν; Weiske tamen, si necessaria correctio videretur, μάλιστα reponendum censeret. Vulgatum is ita tuetur, ut μᾶλλον interpretetur ἢ ἐν ἄλλῃ πόλει. Miror judicium viri acutissimi alias. Per se quidem membrum hoc orationis intelligi potest, nec ideo vitiosum videri debet. Sed junctum cum antecedentibus statim vitiosum esse apparet. Unde enim dices pendere antecedentia omnia a verbis inde καὶ μὴν χειροτέχναι? Si repetere volueris ex sect. 3. οὐ προσδέοιντ' ἂν αὐτῆς, sane procederet hæc ratio usque ad verbum ἐπιθυμοῦντες: sed reliqua ἀλλὰ μὴν et cet. aliam juncturam desiderant. Quid? quod manifestum est, verba τούτων μᾶλλον ἂν τύχοιεν referri ad proxima πολλὰ ταχὺ ἀποδίδοσθαι ἢ πρίασθαι, deinde ad ἐπιθυμοῦντες ἀξιοθεάτων—ὁσίων. Contra illa verba minime coeunt cum antecedentibus καὶ μὴν χειροτέχναι—μεταχειριζόμενοι. Sentio igitur cum Zeunio scribendum ποῦ δὴ—ἢ Ἀθήνησιν; Heindorfio tamen placebat ποῦ τούτων μ. ἂ. τ. ἢ Ἀθ. quam rationem tanquam omnium facillimam sum secutus.

5. Ἑλληνοταμίας] De vocabulo nota omnia. De re compara Thucydidis v. 95. Isocratis Panegyr. c. 20. Areopag. p. 209. Panath. p. 356. Xenophontis Hellenic. vi. 5. 34. Ceterum ante Stephanum in Edd. erat Ἕλληνος ταμίας.

6. Ἔτι δὲ] Repete ἐννοησάτωσαν; redit enim oratio ad antecedens πρῶτον μέν.

ὠμῶς] Stephano debetur pro ὅμως vulgato antea, consentiente Paris. B.

ἐστερήθη] Accidit hoc bello Peloponnesiaco.

τῆς ἀρχῆς, οὐ καὶ τότ', ἐπεὶ τοῦ ἀδικεῖν ἀπεσχόμεθα, πάλιν ὑπὸ τῶν νησιωτῶν ἑκόντων προστάται τοῦ ναυτικοῦ ἐγενόμεθα; 7. Οὐκοῦν καὶ Θηβαῖοι, εὐεργετούμενοι, ἡγεμονεύειν αὐτῶν ἔδωκαν Ἀθηναίοις; Ἀλλὰ μὴν καὶ Λακεδαιμόνιοι, οὐ βιασθέντες ὑφ' ἡμῶν, ἀλλ' εὖ πάσχοντες, ἐπέτρεψαν Ἀθηναίοις περὶ τῆς ἡγεμονίας θέσθαι ὅπως βούλοιντο. 8. Νῦν δέ γε διὰ τὴν ἐν τῇ Ἑλλάδι ταραχὴν παραπεπτωκέναι μοι δοκεῖ τῇ πόλει, ὥστε καὶ ἄνευ πόνων καὶ ἄνευ κινδύνων καὶ ἄνευ δαπάνης ἀνακτᾶσθαι τοὺς Ἕλληνας. Ἔστι μὲν γὰρ πειρᾶσθαι διαλλάττειν τὰς πολεμούσας πρὸς ἀλλήλας πόλεις· ἔστι δὲ συναλλάττειν, εἴ τινες ἐν αὐταῖς στασιάζουσιν. 9. Εἰ καὶ, ὅπως τὸ ἐν Δελφοῖς ἱερὸν αὐτόνομον, ὥσπερ πρόσθεν, γένοιτο, φανεροὶ εἴητε ἐπιμελούμενοι, μὴ συμπολεμοῦντες, ἀλλὰ πρεσβεύοντες ἀνὰ τὴν Ἑλλάδα, ἐγὼ μὲν οὐδὲν ἂν οἶμαι θαυμαστὸν εἶναι, εἰ καὶ πάντας τοὺς Ἕλληνας ὁμογνώμονάς τε καὶ συνόρκους καὶ συμμάχους λάβοιτε ἐπ' ἐκείνους, οἵτινες

πάλιν—ἐγενόμεθα] Etiam hic locus referri poteſt ad argumenta manifeſta, ſed contraria opinioni Weiſkianæ, de tempore ſcripti hujus libri. Accidit enim hoc poſt pugnam demum Leuctricam, ut teſtatur hiſtoria græca. Eſt de hoc etiam locus unus et alter in Iſocratis Συμμαχικῷ, veluti cap. 33. τὴν ἧτταν τὴν ἐν Λεύκτροις φασί τινες αἰτίαν γενέσθαι τῇ Σπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες· οὐ γὰρ διὰ ταύτην ὑπὸ τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις καὶ ταύτην ἡττήθησαν καὶ περὶ τῆς αὑτῶν ἐκινδύνευσαν. Et c. 34. de Lacedæmoniis: ἐκεῖνοι δὲ οὕτω κακῶς προὔστησαν τῶν πραγμάτων, ὥσθ' ἡμᾶς πάλιν ἐπιπολάσαι, καὶ κυρίους γενέσθαι τῆς ἐκείνων σωτηρίας·—ἡ δὲ τῶν λακωνιζόντων ὕβρις ἀττικίζειν τὰς πόλεις ἠνάγκασεν. Eodem pertinent res deinceps memoratæ a Xenophonte. Thebanis enim ſuppetias tulerunt Athenienſes, cum Cadmea a Lacedæmoniis fuiſſet occupata. Lacedæmonios denique ſervarunt Athenienſes, cum maximum illis periculum a Thebanis duce Epaminonda immineret. Miror, Weiſkium hæc omnia loca tacitum præteriiſſe, quæ poterant expugnare præconceptam ab eo opinionem. Cf. dicta ad Hellenica v. 4. 34. p. 317.

7. θέσθαι ὅπως βούλοιντο] Hoc plane accidit Olympiadis 102. anno 4. Cf. Hellenicorum vii. 1.

8. διὰ—ταραχὴν] Hic erat ſtatus Græciæ poſt pugnam ad Mantineam, de qua noſter in Hellenicis extremis ita: νενικηκέναι φάσκοντες ἑκάτεροι οὔτε χώρᾳ οὔτε πόλει οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν—ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι. Demoſthenes de Corona p. 231. ἀλλά τις ἦν ἄκριτος παρὰ τοῖς Ἕλλησιν ἔρις καὶ ταραχὴ de eodem tempore ait. Pertinent hæc ad Olympiadis 104. annum 2.

9. Εἰ καὶ] Senſus et ſequens εἰ δὲ καὶ poſtulant Εἰ μὲν οὖν ut ſcribamus.

ἐπ' ἐκείνους] Edd. veterum ἐκείνου

ἐκλιπόντων Φωκέων τὸ ἱερὸν καταλαμβάνειν ἐπειρῶντο. 10. Εἰ δὲ καὶ, ὅπως ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν εἰρήνη ἔσται, φανεροὶ εἴητε ἐπιμελόμενοι, ἐγὼ μὲν οἶμαι, πάντας ἂν εὔχεσθαι, μετὰ τὰς ἑαυτῶν πατρίδας, Ἀθήνας μάλιστα σώζεσθαι. 11. Εἰ δέ τις αὖ εἰς χρήματα κερδαλεώτερον νομίζει εἶναι τῇ πόλει πόλεμον ἢ εἰρήνην, ἐγὼ μὲν οὐκ οἶδα, πῶς ἂν ἄμεινον ταῦτα κριθείη, ἢ εἴ τις τὰ προγεγενημένα ἔτι ανασκοποίη τῇ πόλει πῶς ἀποβέβηκεν. 12. Εὑρήσει γὰρ τό τε παλαιὸν ἐν εἰρήνῃ μὲν πάνυ πολλὰ χρήματα εἰς τὴν πόλιν ἀνενεχθέντα, ἐν πολέμῳ δὲ ταῦτα πάντα καταδαπανηθέντα· γνώσεται δὲ, ἢν σκοπῇ, καὶ ἐν τῷ νῦν χρόνῳ διὰ μὲν τὸν πόλεμον καὶ τῶν προσόδων πολλὰς ἐκλειπούσας, καὶ τὰς εἰσελθούσας εἰς παντοδαπὰ πολλὰ καταδαπανηθείσας· ἐπεὶ δὲ εἰρήνη κατὰ θάλατταν γεγένηται, ηὐξημένας τε τὰς προσόδους, καὶ ταύταις ἐξὸν τοῖς πολίταις χρῆσθαι, ὅ τι βούλοιντο. 13. Εἰ δέ τίς με ἐπερωτῴη, ἢ καὶ, ἄν τις ἀδικοίη τὴν

correxit Caftalio. ἀπ' ἐκείνου Parif. B. ἐπ' ἐκείνου C. dat. Thebanos interpretatur Zeune ex Juftino viii. 1. feqq. Phocenfes fcilicet templum occuparant, duce Philomelo, contra pugnantibus Thebanis, deinde adjuncto Philippo cum Macedonibus.

ἐκλιπόντων] Ante Stephanum edebatur ἐκλειπόντων. Deinceps ἐκπειρῶντο Parif. A. dat. Delphicum templum direptum a Phocenfibus, Philomelo duce, Olympiadis 106. anno 3. Contra eos Thebani, Theffali et Philippus Macedo pugnant; Phocenfibus fuccurrunt Athenienfes, copias ducente Proxeno. Tandem Olympiadis 108. anno 2. pacem cum Philippo faciunt Athenienfes, plebifcitum fcribente Philocrate, quo tradere jubentur Phocenfes templum Amphictyonibus. Cf. Demofth. pro Corona p. 356. Hæc igitur fcripta videntur ante Olympiadis 108. annum 2. Hoc argumentum ævi Xenophontei producendi annotavit etiam nuper Dav. Schulz in libello; *De Cyropædiæ Epilogo Xenophonti abjudicando* p. 27.

10. ἐπιμελόμενον] Caftalio ἐπιμελούμενοι edidit.

12. τό τε παλαιὸν] Hæc eft fcriptura Stephani et Leuncl. τότε junctis vocibus ex Edd. pr. revocavit Zeune, quia nihil fequatur, ad quod referatur τε. Weifke contra monet, referri ad fequens καὶ ἐν τῷ νῦν χρόνῳ, quamvis interpofitis verbis γνώσεται δὲ, ἢν σκοπῇ. Interdum τε etiam abfolute pofitum reperiri, narrat ex Dorvillio ad Chariton. iv. 7.

εἰς τὴν πόλιν] i. e. acropolin.

ἐν τῷ νῦν χρόνῳ] Hinc explicandus locus cap. iv. fect. 40. ubi vide annotata. Deinceps ante προσόδους inferui τὰς e Parif. B. et Y.

καὶ ταύταις] Caftal. Bryl. ταύτας dederunt.

13. ἢ καὶ—ἀδικοίη] Vulgatum εἰ καὶ correxi, confentiente Heindorfio. Sequens etiam verbum in ἀδικῇ mutatum malim, cum ἂν fit pofitum pro ἤν.

πόλιν, λέγεις, ὡς χρὴ καὶ πρὸς τοῦτον εἰρήνην ἄγειν; οὐκ ἂν φαίην· ἀλλὰ μᾶλλον λέγω, ὅτι πολὺ θᾶττον ἂν τιμωροίμεθα αὐτοὺς, εἰ μηδένα παρέχοιμεν ἀδικοῦντα· οὐδένα γὰρ ἂν ἔχοιεν σύμμαχον.

CAPUT VI.

Commemorantur commoda perfectis rebus illis, de quibus dictum est, ad civitatem redundatura, additurque, non sine numine deorum ista esse instituenda.

1. Ἀλλ' εἴ γε μὴν τῶν εἰρημένων ἀδύνατον μὲν μηδέν ἐστι μηδὲ χαλεπὸν, πραττομένων δὲ αὐτῶν, προσφιλέστεροι μὲν τοῖς Ἕλλησι γενησόμεθα, ἀσφαλέστερον δὲ οἰκήσομεν, εὐκλεέστεροι δὲ ἐσόμεθα, καὶ ὁ μὲν δῆμος τροφῆς εὐπορήσει, οἱ δὲ πλούσιοι τῆς εἰς τὸν πόλεμον δαπάνης ἀπαλλαγήσονται, περιουσίας δὲ πολλῆς γενομένης, μεγαλοπρεπέστερον μὲν ἔτι ἢ νῦν ἑορτὰς ἄξομεν, ἱερὰ δ' ἐπισκευάσομεν, τείχη δὲ καὶ νεώρια ἀνορθώσομεν, ἱερεῦσι δὲ καὶ βουλῇ καὶ ἀρχαῖς καὶ ἱππεῦσι τὰ πάτρια ἀποδώσομεν· πῶς οὐκ ἄξιον ὡς τάχιστα τούτοις ἐγχειρεῖν, ἵνα ἔτι ἐφ' ἡμῶν ἐπίδωμεν τὴν πόλιν μετ' ἀσφαλείας εὐδαιμονοῦσαν; 2. Εἴ γε μὴν ταῦτα δόξειεν ἡμῖν πράττειν, συμβουλεύσαιμ' ἂν ἔγωγε, πέμψαντας καὶ εἰς Δωδώνην καὶ εἰς Δελφοὺς ἐπέρεσθαι τοὺς θεοὺς, εἰ λῷον καὶ ἄμεινον εἴη ἂν

πρὸς τοῦτον] Junt. et Aldinæ πρὸς τούτων correxit Castalio.

θᾶττον] Esse pro μᾶλλον, ut latinum *citius*, monet Weiske; sic esse πρὶν *potius quam* in Platonis Menexeno p. 56. ed. Gottleb.

παρέχοιμεν ἀδικοῦντα] Weiske interpretatur *si neminem eo redigeremus* (*redigamus* voluit,) *ut nobis injuriam inferret* (*inferat*). Sed παρέχειν τινὰ βέλτιστον et ἀποδεικνύναι idem est in Cyrop. i. 2. 5. τοιαύτην παρέχειν τὴν πεμπάδα—. παρέξουσι τὰ δέοντα ποιοῦντας ii. 1. 22. In nostra vero potestate non est situm, facere ut ne alienus ab imperio nostro nobis injuriam faciat. Igitur παρέχοιμεν μηδένα ἀδικοῦντα est h. l. si efficere conemur, ut nemo civium nostrorum extraneos vel socios injuria afficiat. Hæc est sententia orationis seriei multo convenientior.

Cap. VI. 2. δόξειεν ἡμῖν] Vulgatum ὑμῖν monente Heindorfio correxi.

εἰ λῷον καὶ ἄμεινον εἴη ἂν] Formulam usitatam fuisse in re simili colligit Weiske ex Anabasi vi. 2. 15. Republ. Laced. viii. 5. Sequens ἂν, cum εἰ conjunctum insolenter, delendum censui ad Anabasin iv. 1. 8. Locum

τῇ πόλει οὕτω κατασκευαζομένῃ καὶ αὐτίκα καὶ εἰς τὸν ἔπειτα χρόνον. 3. Εἰ δὲ ταῦτα συναινοῖεν, τότ' ἂν αὖ φαίην χρῆναι ἐπερωτᾷν, τίνας θεῶν προσποιούμενοι ταῦτα κάλλιστα καὶ ἄριστα πράττοιμεν ἄν· οὓς δ' ἀνέλοιεν θεοὺς, τούτοις εἰκὸς καλλιερήσαντας ἄρχεσθαι τοῦ ἔργου. Σὺν γὰρ θεῷ πραττομένων, εἰκὸς καὶ τὰς πράξεις προϊέναι ἐπὶ τὸ λῷον καὶ ἄμεινον ἀεὶ τῇ πόλει.

1. Ἐπειδήπερ ἐστὶν ὅπου τρέχειν δεήσει τὸν ἵππον καὶ πρανῆ καὶ ὄρεια καὶ πλάγια, ἔστι δ' ὅπου διαπηδᾷν, ἔστι δ' ὅπου καὶ ἐκπηδᾷν, ἔνθα δὲ καὶ καθάλλεσθαι,

phontis τὰ πολέμια dicantur, quæ alii τὰ πολεμικὰ dicunt.

στροφαί] Cf. dicenda ad cap. viii. 12. et cap. x. 15.

ἢ τοῦ διώκειν] Juntina cum libro Lipſ. et Pariſ. A. αἱ τοῦ διώκειν ἀποχωρεῖν, ſed Lipſ. liber alterum ἢ τοῦ habet. Caſtalio αἱ τȣ̃ δ. ἢ καὶ ἀποχ. edidit; ſed Hal. et Bryl. deleverunt ἢ ante καὶ ἀποχ.

στραφέντα] Cf. dicenda ad cap. viii. 6.

18. δοκῇ] Juntinæ et Aldinæ δοκεῖ revocavit Leunclaviana poſterior. Deinde καὶ μὴ πρὸς ἵππους dat Cod. Lipſ. μὴ πρὸς ἵππους Edd. ante Welſianam cum Pariſ. A. Negationem omitti juſſit Brodæus, nec eam reddidit Camerarius.

ἐν τοῦ ταχέος] Edd. pr. et Cod. Lipſ. ταχέως tanquam Atticum revocavit Zeune et Weiſke. Sed iidem debebant etiam ſect. 14. ſcribere πλήρης ὢν τοῦ εὐθέως. Stephanum equidem ſequor.

ὡς ἐγγυτάτω] ſcilicet τῶν ἵππων, monente Weiſkio.

ἠρεμίζειν] Male Pollux ſynonymum facit τῷ ἀναλαμβάνειν et ὑπολαμβάνειν. Eſt enim equum a curſu retinere ita, ut aliquamdiu in eodem loco conſiſtat, monente Hermanno p. 60. Noſtri dicunt *halten.* — Sequens δεῖ poſt στρέψαντα deleri voluit Leunclavius.

πάλιν ὁρμᾷν] *retro* vertit Weiſke, quod neſcio an ſit neceſſarium. Additum enim στρέψαντα converſionem curſus ſimpliciter ſignificat, πάλιν incitatum iterum curſum deſignare videtur.

Cap. VIII. 1. καὶ πρανῆ] Copulam omittit Pariſ. A. Deinceps γὰρ καὶ σωτήριοι dat.

καὶ ταῦτα πάντα διδάσκειν τε δεῖ καὶ μελετᾶν καὶ αὐτὸν καθόλου καὶ τὸν ἵππον. Οὕτω γὰρ ἂν καὶ σωτήριοί τε εἶεν ἀλλήλοις καὶ χρησιμώτεροι ἂν δοκοῖεν εἶναι. 2. Εἰ δέ τις διλογεῖν ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρόσθεν, οὐ διλογία ταῦτά ἐστιν. Ὅτε μὲν γὰρ ἐωνεῖτο, πειρᾶσθαι ἐκελεύομεν, εἰ δύναιτο ὁ ἵππος ταῦτα ποιεῖν· νῦν δὲ διδάσκειν φαμὲν χρῆναι τὸν ἑαυτοῦ, καὶ γράψομεν, ὡς δεῖ διδάσκειν. 3. Τὸν μὲν γὰρ παντάπασιν ἄπειρον τοῦ διαπηδᾶν λαβόντα δεῖ τοῦ ἀγωγέως καταβεβλημένου προδιαβῆναι αὐτὸν τὴν τάφρον· ἔπειτα δὲ ἐντείνειν δεῖ τῷ ἀγωγεῖ, ὡς διάλληται. 4. Ἢν δὲ μὴ ἐθέλῃ, ἔχων τις μάστιγα ἢ ῥάβδον ἐμβαλέτω ὡς ἰσχυρότατα· καὶ οὕτως ὑπεραλεῖται οὐ τὸ μέτρον, ἀλλὰ πολὺ πλεῖον τοῦ καιροῦ· καὶ τὸ λοιπὸν οὐδὲν δεήσει παίειν, ἀλλ' ἢν μόνον ἴδῃ ὄπισθέν τινα ἐπελθόντα, ἁλεῖται. 5. Ἐπειδὰν δὲ οὕτω διαπηδᾶν ἐθισθῇ, καὶ ἀναβεβηκὼς ἐπαγέτω τὸ μὲν πρῶτον μικράς, ἔπειτα δὲ καὶ μείζους. Ὅταν δὲ μέλλῃ πηδᾶν, παισάτω αὐτὸν τῷ μύωπι. Ὡσαύτως δὲ καὶ τὸ ἀναπηδᾶν καὶ τὸ καταπηδᾶν διδάσκων παισάτω τῷ μύωπι· ἀθρόῳ γὰρ τῷ σώματι ταῦτα πάντα ποιῶν, καὶ ἑαυτῷ ὁ ἵππος καὶ τῷ ἀναβάτῃ ἀσφαλέστερον ποιήσει

2. ἐωνεῖτο] Ante Stephanianam erat ἐωνείτω.

3. Τὸν μὲν—καταβεβλημένου] Edd. pr. et Codicis Lipſ. ſcripturam τὸ—καταβεβλημένον correxit Stephanus. καταβ. Camerarius interpretatur *equum vacuum*, ſed eſt lorum in terram dejectum, nec intentum.

4. ἐθέλῃ] Codex Lipſ. a prima manu ἐθέλει habet, deinde cum Edd. pr. τὸ καιροῦ. Poſtea ἤδη Edd. pr. pro ἴδῃ habent. ἔχων τις μάλιστα — τινὰ ἀπελθόντα habet Pariſ. A.

5. μικρὰς] Leunclavii conjecturam ἐπὶ μικρὰς recepit Welſiana. Articulum ante μύωπι omittit Cod. Lipſ. et Pariſ. A. Præter μύωπα equitum Pollux x. ſ. 54. commemorat ἐγκεντρίδας, quas τοῖς ποσὶ κατὰ τὰς πτέρνας οἱ ἱππεύοντες περιεδοῦντο, auctore Pherecrate comico. Heſychius ἔγκεντρα et ἐγκέντρια habet pro calcaribus et pro ſtimulis aurigarum, quos etiam Pollux ſ. 53. ἐγκεντρίδας nominat. Theophraſti Char. xxi. ſ. 3. καὶ πομπεύσας μετὰ τῶν ἱππέων τὰ μὲν ἄλλα πάντα δοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλλόμενος δὲ θοἰμάτιον ἐν τοῖς μύωψι κατὰ τὴν ἀγορὰν περιπατεῖν. Ceterum totum hunc locum ita ſcribendum cenſeo: ἐθισθῇ, ὁ μὲν ἀναβεβηκὼς ἀγέτω τὸ μὲν πρῶτον ἐπὶ μικρὰς—ἐπὶ μείζους, nempe τάφρους.

διδάσκων] Cum Edd. pr. Codex Lipſ. διδάσκειν habet: deinde Edd. pr. præter Aldinam ἀσαφέστερον dant.

μᾶλλον, ἢ ἂν ἐκλείπῃ τὰ ὄπισθεν ἢ διαπηδῶν ἢ ἀνορούων ἢ καθαλλόμενος. 6. Εἴς γε μὴν τὸ κάταντες πρῶτον χρὴ ἐν μαλακῷ χωρίῳ διδάσκειν· καὶ τελευτῶν, ἐπειδὰν τοῦτο ἐθισθῇ, πολὺ ἥδιον τὸ πρανὲς τοῦ ὀρθίου δραμεῖται. Ἃ δὲ φοβοῦνταί τινες, μὴ ἀποῤῥηγνύωνται τοὺς ὤμους κατὰ τὰ πρανῆ ἐλαυνόμενοι, θαῤῥούντων· μαθόντες, ὅτι Πέρσαι καὶ Ὀδρύσαι ἅπαντες τὰ κατάντη ἁμιλλώμενοι, οὐδὲν ἧττον τῶν Ἑλλήνων ὑγιεῖς τοὺς ἵππους ἔχουσι. 7. Παρήσομεν δὲ οὐδὲ, ὅπως τὸν ἀναβάτην ὑπηρετεῖν δεῖ πρὸς ἕκαστα τούτων. Χρὴ γὰρ, ὁρμῶντος μὲν ἐξαίφνης ἵππου, προνεύειν· (ἧττον γὰρ ἂν καὶ ὑποδύοι ὁ ἵππος, καὶ ἀνα-

ἢ ἂν ἐκλείπῃ] Edd. pr. ἵνα εἰπῇ, quod Castalio, Bryl. 3. mutavit in ἢ ἂν ἀπείπῃ, receptum a Zeunio et probatum a Stephano. ἐκλείπῃ conjecit Brodæus, receptum a Weiskio. ἐλλείπῃ vel ἀπολείπῃ maluit Leunclavius, ἐλλείπῃ recepit Welsiana. Cum in Codice Lipſ. ſcriptum extet ἢ ἀν ινα ειπη, Brodæi conjecturam cum Weiskio amplexus sum, quam sententia ipsa præ altera Castalionis scriptura commendat. ἢ αὐ ινα εἴπη Parif. A. habet. Deinde ἀδιαπηδῶν est in Juntina. Mihi ἐφέλκηται longe commodius videtur.

6. Ὀδρύσαι] Pollucis codex Falkenb. ſ. 187. ubi excerpta leguntur Xenophontis verba e cap. i. sect. 5. de equitatione per loca declivia, hæc addit vulgatis; οἱ Πέρσαι δὲ ἵπποι φησὶ καὶ Ὀδρύσαι μεμελετήκασιν καὶ ταῦτα [τὰ κατάντη] ἐπελαύνεσθαι.

τὰ κατάντη] Præpositionem εἰς addi voluerunt Leuncl. et Stephanus. ἁμιλλᾶσθαι est h. l. certatim vel frequenter decurrere.

7. ἧττον γὰρ ἂν] In Castal. Hal. Bryl. excidit ἂν, et ante Zeunianam legebatur ησσον.

ὑποδύοι] Camerarius vertit: *ita minime equus tergiversabitur, aut eques succutietur, statimque reprimens equum, resupinator, ita minime ipse jactabitur.* Leunclavius ὑποδύειν reddit *deprimi*, Zeune *procumbere, proruere.* Ceteri Interpretes etiam turpius lapsi sunt. Weiske ita: *si præter opinionem equus in cursum effertur, equitem oportet in equo pronum inclinari; nam ita nec facile caput rigido collo contumaciter submittat, nec anterioribus pedibus subsultans sessorem rejiciat supinum; mox vero cohibito habenis equo resupinatum sedere; minus enim succussus jactabitur.*

Censet igitur, agi de equo ἐκφέροντι, s. qui sponte repentino cursu aufertur, non impulsus ab equite. Nam contumaciam equi arguere verba ἐξαίφνης, ὑποδύειν et ἀναβάλλειν, quæ in equum a sessore impulsum non conveniant; itemque quod adjicitur, debere *statim* ὑπολαμβάνεσθαι, (voluit ἀναλ.) retineri. Inclinato antrorsum et propendente corpore duplex incommodum dici evitari: 1. ne equus ὑποδύῃ, *caput dejiciat contumaciter.* Nam sic facere equos effrenatos: ἐὰν μὲν ἐνδάκωσι τὸν χαλινὸν, κλίναντες τὴν κεφαλὴν ἐκφέρουσι, ut ait Pollux. Id equum, pronum si sentiat equitem, non facere, quia timeat, ne submisso capite ipse proruat, onere omni fere ad anteriora urgente; et necessario attollere aliquantum caput propter eandem causam; qua opportunitate usum equitem facilius equum deinde freno reprimere. Evitari 2. ne sessorem equus facile ἀναβάλλῃ, *rejiciat, versus lumbos supinum labi faciat*, quo, si fieri possit, excutiatur. Nam cursu abreptum jam per se minus posse antrorsum erigi, et deinde impediri hunc nisum onere equitis in armos incumbentis. Postremum hoc commemorari, *concuti equitem, si statim supinus resederit.* Scilicet abreptum

βάλλοι τὸν ἀναβάτην·) ἐν μικρῷ δὲ ἀναλαμβανομένου, ἀναπίπτειν· ἧττον γὰρ ἂν αὐτὸς κόπτοιτο. 8. Τάφρον δὲ

cum equo equitem pronum ferri nutu ſuo et eo niſu, quem ipſi curſus equi impreſſerit. Itaque *reſiſtente* celeriter equo, et paulum etiam ſubſultante anterioribus pedibus, neceſſe fuiſſe, ut aliquantum eques ſubſultaret, ad ἀκρωμίαν concuſſus, niſi ſe ſtatim reſupinaret.

Exſcripſi annotationem bene longam, in qua nihil aliud probare poſſum, niſi quod errores interpretum recte animadvertit. Ipſe tamen non minus graviter in hoc loco interpretando lapſus eſſe mihi videtur. Primum enim, quod caput eſt et fons erroris, minime Xenophon agit de equo contumaci et ἐκφέροντι, ſed de eo, quem hucuſque erudiverat. Ideo ſubdit: ὅπως τὸν ἀναβάτην ὑπηρετεῖν δεῖ πρὸς ἕκαστα τούτων, i. e. ad ſingula eorum, quæ facere docui equum hucuſque. Propoſuit autem ab initio hæc: τρέχειν πρανῆ καὶ ὄρεια καὶ πλάγια, διαπηδᾷν, ἐκπηδᾷν, καθάλλεσθαι. Primum igitur equum διαπηδᾷν docet ſ. iii. 4. Sequenti ſect. 5. monet quædam communia, quæ pertinent ad τὸ διαπηδᾷν, ἀνορούειν, καθάλλεσθαι. De curſu per declivia tractat ſect. 6. Equitis deinde figuram ad horum ſingula præceptorum accommodat ſect. 7. et ſeqq. Præmittit autem generale præceptum de equo ad curſum ſubito ſe extendente; deinde docet, quomodo eques ſe tenere in equo foſſam tranſiliente et ardua aſcendente debeat ſect. 8. ſubjungit de equo per declivia decurrente. Novam doctrinam exorditur ſect. 9. et ſeqq. Curſum igitur per τὰ πλάγια et τὸ ἐκπηδᾷν omiſit, aut reliquis præceptis complexus eſt. Deinde verba ἐν μικρῷ ἀναλαμβάνειν male interpretatur *ſtatim retinere.* Quid ſit, docebit comparatio cap. iii. ſ. 5. καὶ εἰ ἀφεθεὶς εἰς τάχος ἀναλαμβάνεται ἐν βραχεῖ, καὶ εἰ ἀποστρέφεσθαι ἐθέλει. Recte vero admonuit Hermann in Comment. Lipſ. p. 59. ἀναλαμβάνειν diverſum eſſe ab ὑπολαμβάνειν, quod utrumque verbum mole Pollux confudit. ἀναλαμβάνειν enim eſt *retinere equum, anhalten, pariren*; res ipſa dicitur hodie *arrêt, Parade.* Contra ὑπολαμβάνειν eſt *verhalten*, equum a celeriore curſu cohibere, et lentius magiſque confertim cogere incedere. Res ipſa dicitur *halbe Parade, demi-arrêt.*

Demonſtrato fonte erroris, nunc ſingula verba conſideremus. ὑποδύοι igitur ὁ ἵππος refertur ad totum corpus: ſi *caput dejicere* ſignificare voluiſſet ſcriptor, dicere debebat ὑποδύοι τῇ κεφαλῇ ὁ ἵππος. Sed ὑποδύειν et ὑποδύεσθαι eſt *ſubire*, nec poteſt omnino *caput dejicere* ſignificare. Leunclavius *deprimi* vertens a vero proxime abfuit. Eſt enim h. l. *dorſo ſubſidere*, quod facit equus ad curſum ſe extendens, onere equitis depreſſus inſidentis. Deinde vero adductis pedibus poſterioribus, dorſo iterum ſurſum curvato, ſubſilire facit ſeſſorem; quod Xenophon dicit ἀναβάλλειν τὸν ἀναβάτην.

Quod vero Simon Pollucis ſ. 208. ait: εἰ δ' εἰς τάχος ἐλαύνοις, τοῦ μὲν σώματος τοῦ σεαυτοῦ μηδ' ὁτιοῦν προβάλῃς, id ad curſum equi continuum pertinet, Xenophontis autem præceptum ad primum equi impetum curſum capeſſentis.

Quod vero dixi, Xenophontem τὰ πλάγια in doctrina omiſiſſe, quanquam antea poſita, id potuit eam cauſam habere, quod res ipſa per ſe facile intelligitur, nec eques admonitus præcepto peculiari indigebat. Simon tamen de ea re monuit, ſed breviter. Ita enim Pollux ſ. 204. ἐλαυνέτω δὲ καταρχὰς τὸν ἵππον ὁ ἐπιβάτης εἰς τὰ δάπεδα καὶ λεῖα, τὰς δὲ προσβάσεις (per acclivia) καὶ τὰς ἐκεῖθεν καθόδους μὴ αὐτίκα ποιείσθω, ἀλλὰ τὸν ἵππον πλαγιασάτω· οὕτω γὰρ ὁ Σίμων ὀνομάζει.

ἀναπίπτειν] Hipparchici iii. 14. ὅταν γε μὴν ἐν τῷ ἀποκρότῳ ἐν Ἀκαδημίᾳ ἐλαύνειν δέῃ (per declive)—εἰς τὸ μὴ ἀποκρούεσθαί ποτε τῶν ἵππων, ὑπτίους ἀναπεπτωκότας ἐλαύνειν.

κόπτοιτο] Supra i. ſect. 4. equi, qui μεσοκύνια ὀρθὰ habent et græce ὀρθόκωλοι vocantur, equitem κόπτειν dicuntur. *Succutere* vertit Budæus, *jactare* Camerarius. Cauſam in duritia et rigiditate tibiarum ponit iterum noſter i. 6. τὰ δὲ ὑγρὰ δικαίως εὐδοκιμεῖ· ἀπταιστότερον γὰρ καὶ ἀκοπώτερον τὸν ἵππον παρέχει. ubi inepte Zeune vertit *qui non fatigatur*; Camerarius *minus laborat*; Brodæus *qui non ſuc-*

διαλλομένου, καὶ πρὸς ὄρθιον ἱεμένου, καλὸν χαίτης ἐπιλαμβάνεσθαι, ὡς μὴ ὁ ἵππος τῷ τε χωρίῳ ἅμα καὶ τῷ χαλινῷ βαρύνηται. Εἴς γε μὴν τὸ πρανὲς καὶ ἑαυτὸν ὑπτιαστέον, καὶ τοῦ ἵππου ἀντιληπτέον τῷ χαλινῷ, ὡς μὴ προπετῶς εἰς τὸ κάταντες μήτε αὐτὸς μήτε ὁ ἵππος φέρηται.

De ratione meditationis equestris ad belli usum, et maxime quæ a binis equitibus hanc ad rem fieri possint.

9. Ὀρθῶς δ' ἔχει καὶ τὸ ἄλλοτε μὲν ἐν ἄλλοις τόποις, ἄλλοτε δὲ μακρὰς ἄλλοτε δὲ βραχείας τὰς ἱππασίας ποιεῖσθαι. Ἀμισέστερα γὰρ τῷ ἵππῳ καὶ ταῦτα τοῦ ἀεὶ ἐν τοῖς αὐτοῖς τόποις, καὶ ὁμοίως τὰς ἱππασίας ποιεῖσθαι. 10. Ἐπεὶ δὲ δεῖ ἐν παντοίοις τε χωρίοις τὸν ἵππον ἀνὰ κράτος ἐλαύνοντα ἔποχον εἶναι, καὶ ἀπὸ τοῦ ἵππου τοῖς ὅπλοις καλῶς δύνασθαι χρῆσθαι, ὅπου μέν ἐστι χωρία ἐπιτήδεια καὶ θηρία, ἄμεμπτος ἡ ἐν θήραις μελέτη τῆς ἱππικῆς· ὅπου δὲ ταῦτα μὴ ὑπάρχει, ἀγαθὴ ἄσκησις, καὶ ἢν δύο ἱππόται συντιθεμένω, ὁ μὲν φεύγῃ ἐπὶ τοῦ ἵππου παντοῖα χωρία, καὶ τὸ δόρυ εἰς τοὔπισθεν μετα-

cussat. Vegetius Mulomed. iii. 54. 1. orthocola jumenta, quæ idem ex græco πασσάλους *stilosa* vocat, (ita enim, non *stillosa* scribendum erat,) rigidis articulis esse ait, ut planas ungulas in terram ponere non possint, sed de capitibus ungularum (ὄνυχος) calcent. Idem accidit, cum equus incitatus subito retinetur; tum eques succussu equi dolorem accipit. ἀναβάλλειν igitur non *sternere et excutere* cum Budæo, sed potius *jactare* interpretandum censeo.

8. ἱεμένου] Sic cum Stephano scripsi pro vulgato ἱεμένου. Sequens καλὸν ex Castal. Hal. Bryl. recepit Zeune; κακὸν est in Edd. pr. Codice Lips. οὐ κακὸν, quod Camerarius vertit, Leunclavius conjecit.

χαίτης ἐπιλαμβάνεσθαι] simul remittit habenas. Hoc maxime auctorem voluisse intelligi, censet Weiske. Deinde βαρύνεται Cod. Lips. habet.

ὑπτιαστέον] Edd. pr. Cod. Paris. A. et Lips. ὑπτιώτερον. Verum Camerarius interpretando expressit, Stephanus edidit.

9. Ἀμισέστερα] Ordinem verborum vulgatum ἀμ. γὰρ καὶ ταῦτα τῷ ἵππῳ auctore libro Lips. correxi. Pollux I. 206. εἰ δὲ καὶ τὰ χωρία ὑπαλλάττοι τις, ἐν χάριτι μᾶλλόν ἐστι τῷ ἵππῳ· ἀμισέστερα γὰρ αὐτῷ τὰ καινὰ χωρία, ἀπαγορεύει δὲ τοῖς συνήθεσι. ubi vitiosam scripturam Editio postrema reliquit.

10. μὴ ὑπάρχει] Vitiosum ὑπάρχῃ cum Stephano, Leuncl. et Paris. A. correxi. Stephani altera conjectura ὅπου δ' ἂν ταῦτα μὴ ὑπάρχῃ minus est facilis et a vulgata longius abit. Deinceps Junt. Ald. cum libro Lips. φεύγῃ habet; idem Lips. etiam διώκῃ postea. μεταβαλόμενος dat Paris. A.

βαλλόμενος ὑποχωρῇ· ὁ δὲ διώκῃ, ἐσφαιρωμένα τε ἔχων ἀκόντια, καὶ δόρυ ὡσαύτως πεπραγματευμένον· καὶ ὅπȣ μὲν ἂν εἰς ἀκόντιον ἀφικνῆται, ἀκοντίζῃ τὸν φεύγοντα τοῖς σφαιρωτοῖς· ὅπου δ' ἂν εἰς δόρατος πληγὴν, παίῃ τὸν ἁλισκόμενον. 11. Ἀγαθὸν δὲ, κἂν ποτε συμπέσωσιν, ἑλκύσαντα ἐφ' ἑαυτὸν τὸν πολέμιον ἐξαίφνης ἀπῶσαι· τοῦτο γὰρ καταβλητικόν. Ὀρθῶς δὲ ἔχει καὶ τῷ ἑλκομένῳ ἐπελαύνειν τὸν ἵππον· τοῦτο γὰρ ποιῶν ὁ ἑλκόμενος καταβάλοι ἂν μᾶλλον τὸν ἕλκοντα, ἢ καταπέσοι. 12. Ἢν δέ ποτε καὶ, στρατοπέδου ἀντικαθημένου, ἀνθιππεύωσιν ἀλλήλοις, καὶ διώκωσι μὲν μέχρι τῆς πολεμίας φάλαγγος τοὺς ἐναντίους, φεύγωσι δὲ μέχρι τῆς φιλίας, ἀγαθὸν καὶ ἐνταῦθα ἐπίστασθαι, ὅτι, ἕως μὲν ἂν παρὰ τȣ̀ς φίλους τὶς ᾖ, καλὸν καὶ ἀσφαλὲς, τὸ ἐν πρώτοις ἐπιστρέ-

σφαιρωτοῖς] Edd. vett. σφερωτοῖς. Pollux ſ. 212. ἐὰν μελετᾷς ἀφ' ἵππου τὰ στρατιωτικὰ ἀνθιππεύων ἑτέροις, ἀκοντίοις ἐσφαιρωμένοις κέχρησο καὶ δόρατι ὁμοίως πεπραγματευμένῳ (σφαιρωτῷ), ὥστε εἶναι τὴν πληγὴν ἀσινῆ. Sunt *jacula præpilata.*

11. ἑλκύσαντα] Edd. pr. et Cod. Lipſ. ἑλκύσαντες correxit Stephanus. Pollux ſ. 212. καλὸν δὲ λαβόμενον τοῦ ἀντιπάλȣ καὶ ἑλκύσαντα ἐφ' ἑαυτὸν ἄφνω ἀφεῖναι· τὸ γὰρ τοιοῦτον καταπληκτικὸν καὶ καταβλητικόν. Hæc niſi e Simonis libro ducta ſint, Pollux integriorem Xenophontis librum habuit. Sed ἀφεῖναι pro ἀπῶσαι minime probo.

ἐπελαύνειν] Contrarium conſilio ſcriptoris ſenſum habet Leunclavii conjectura ἀπελαύνειν.

12. ἐναντίους] Vulgatum ἀντίους Stephanum ſecutus et Leuncl. correxi addicente Pariſ. A.

ἀγαθὸν καὶ] Pariſ. A. interſerit δέ.

τὶς ᾖ] Stephani conjecturam τις ἴῃ damnavit cum Leunclavio Zeune. Deinde ἐμ πρώτοις Cod. Lipſ. Poſtea ἀνακράτως Junt. Ald. Hal. Ceterum idem præceptum eſſe videtur in Hipparchico viii. 23. ubi eſt: ἐὰν δέ ποτε αὖ ἢ φαλάγγων ἀντιτεταγμένων ἢ χωρίων ἑκατέροις ὑπαρχόντων ἐν τῷ μέσῳ, τοῖς ἱππεῦσιν ἀναστροφαί τε καὶ διώξεις καὶ ἀποχωρήσεις γίγνωνται, εἰώθασι μὲν ὡς τὰ πολλὰ ἐκ τῶν τοιούτων ὁρμᾷν μὲν ἐκ τῶν ἀναστροφῶν βραδέως ἀμφότεροι, τὸ δ' ἐν μέσῳ (vacuum et liberum campum) τάχιστα ἐλαύνειν. ἢν δέ τις οὕτω προδείξας ἔπειτα δ' ἐκ τῶν ἀναστροφῶν ταχέως τε διώκῃ καὶ ταχέως ἀποχωρῇ, βλάπτειν τ' ἂν μάλιστα τοὺς πολεμίους δύναιτο, καὶ, ὡς τὸ εἰκὸς, ἀσφαλέστατ' ἂν διάγοι, ταχὺ μὲν διώκων, ἐν ᾧ ἂν ἐγγὺς ᾖ τοῦ ἑαυτοῦ ἰσχυροῦ, ταχὺ δὲ ἀποχωρῶν ἀπὸ τῶν τοῖς πολεμίοις ἰσχυρῶν. ubi poſt verbum προδείξας intellige βραδέως ὁρμήσειν, *ubi ſignificaverit, ſe lento curſu abiturum ex pugna.* Cenſuit autem ἀναστροφὰς eſſe Weiſke ad eum locum redeuntium e fuga equitum, et hoſtem rurſus perſequentium. Licet tamen ſimpliciter ibi ἀναστροφὰς referre ad equites, qui cum a pugna rediiſſent et velitatione, ſubito converſi rurſus hoſtem redeuntem adoriuntur. Certe Xenophon ἐπιστρέψαντα dicit, ubi antea ἀποστροφὰς memoraverat. Sed ecce! accedit locus tertius cap. vii. ſ. 17. ἐπειδάν γε μὴν ἐκ τῆς στροφῆς εἰς τὸ εὐθὺ βλέπῃ ὁ ἵππος, ἐν τούτῳ πρὸς τὸ θᾶττον αὐτὸν ὁρμάτω· δῆλον γὰρ ὅτι καὶ ἐν τοῖς πολέμοις αἱ στροφαί εἰσιν ἢ τοῦ διώκειν ἢ τοῦ ἀποχωρεῖν ἕνεκα· ἀγαθὸν οὖν τὸ στραφέντα ταχύνειν μελετᾷν.

ψαντα ἀνὰ κράτος ἐπικεῖσθαι· ὅταν δ' ἐγγὺς τῶν ἐναντίων γίγνηται, ὑποχείριον τὸν ἵππον ἔχειν. οὕτω γὰρ ἂν, ὡς τὸ εἰκὸς, μάλιστα δύναιτο, βλάπτων τοὺς ἐναντίους, μὴ βλάπτεσθαι ὑπ' αὐτῶν. 13. Ἀνθρώποις μὲν οὖν ἄνθρωπον θεοὶ ἔδοσαν λόγῳ διδάσκειν, ἃ δεῖ ποιεῖν· ἵππον δὲ δῆλον ὅτι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις· ἢν δὲ, ὅταν μὲν ποιήσῃ, ὡς ἂν βούλῃ, ἀντιχαρίσῃ αὐτῷ, ὅταν δὲ ἀπειθῇ, κολάζῃς, ἔτω μάλιστα μάθοι τὸ δέον ὑπηρετεῖν. 14. Καὶ ἔστι μὲν τοῦτο ἐν βραχεῖ εἰπεῖν, δι' ὅλης δὲ τῆς ἱππικῆς παρακολουθεῖ. Καὶ γὰρ χαλινὸν μᾶλλον ἂν λαμβάνοι, εἰ, ὁπότε δέξαιτο, ἀγαθόν τι αὐτῷ ἀποβαίνοι· καὶ διαπηδῴη δ' ἂν καὶ ἐξάλλοιτο, καὶ τἆλλα πάντα ὑπηρετοίη ἂν, εἰ προσδοκοίη, ὁπότε τὰ σημαινόμενα πράξειε, ῥᾳστώνην τινά.

CAPUT IX.

Equi feroces quomodo ſint tractandi.

1. Καὶ τὰ μὲν δὴ εἰρημένα ταῦτά ἐστιν, ὡς ἂν ἥκιστα μὲν ἐξαπατῷτο καὶ πῶλον καὶ ἵππον ὠνούμενος, ἥκιστα δ' ἂν διαφθείραι χρώμενος, μάλιστα δ' ἂν, ἵππον εἰ ἀποδεικνύειν δέοι ἔχοντα, ὧν ἱππεὺς δεῖται εἰς πόλεμον. Και-

ὑποχείριον—ἔχειν] Credo eſſe, non permittere equo habenas, ſed eum ita in poteſtate ſua habenis retinere et continere, uti ſubito convertere poſſis.

13. ὡς ἂν βούλῃ] Vulgatam loci ſcripturam βούληται, ἀντιχαρίσηται—κολάζοις minime ferendam et ſolœcam recte Stephaniana correxit, cujus emendationem firmat Cod. Pariſ. A. Tamen vitium manifeſtum et turpe amplectitur cum Zeunio Weiſke. Ceterum ὅσ' ἂν βούλῃ ſcribendum ſuſpicor. Sequens vulgo κολάζοις e Pariſ. A. correxi.

14. ὁπότε δέξαιτο] Miror, Interpretes toleraſſe vulgatum δέξοιτο, cum ſequens ὁπότε πράξει in πράξειε mutandum cenſuerit Zeune. Weiſke commendat idem vel παρέξοι. Voluit, credo, πράξοι, quam tamen ipſam formam, ut ſolœcam, nunc in δέξοιτο damnandam cenſui. Deinde vulgatum ἀποβαίνῃ, quod eſt etiam in libro Lipſ. Stephanus in ἀποβαίνει mutavit: equidem cum Pariſ. A. ἀποβαίνοι ſcripſi.

Cap. IX. 1. καὶ πῶλον καὶ ἵππον] Cod. Lipſ. καὶ ἵππον καὶ πῶλον habet, deinde διαφθεῖραι.

ἀποδεικνύειν] Junt. Ald. ἀποδάκνειν. Leuncl. ſcribi voluit μάλιστα δ' ἂν, εἰ ἵππον ἐπιδεικνύειν δέοι. quæ conjectura omnino probanda erit, ſi Xenophon ad δοκιμασίας equitum publicas reſpexit, ubi equitum ἐπιδείξεις fiebant coram ſenatu. Sed ſupereſt alia difficultas, quam nemo Interpretum teti-

ρος δ' ἴσως γράψαι, καὶ, εἴ ποτε συμβαίη θυμοειδεστέρῳ ἵππῳ τοῦ καιροῦ χρῆσθαι ἢ βλακωδεστέρῳ, ὡς ἂν ὀρθότατα ἑκατέρῳ χρῷτο. 2. Πρῶτον τοίνυν χρὴ τοῦτο γνῶναι, ὅτι ἐστὶ θυμὸς ἵππῳ, ὅπερ ὀργὴ ἀνθρώπῳ. Ὥσπερ οὖν καὶ ἄνθρωπον ἥκιστ' ἂν ὀργίζοι τις [ὁ] μήτε λέγων χαλεπὸν μηδὲν μήτε ποιῶν, οὕτω καὶ ἵππον θυμοειδῆ ὁ μὴ ἀνιῶν ἥκιστ' ἂν ἐξοργίζοι. 3. Εὐθὺς μὲν οὖν χρὴ ἐν τῇ ἀναβάσει ἐπιμελεῖσθαι, ὡς ἂν ἥκιστ' ἀναβαίνων λυποῖ· ἐπειδὰν δ' ἀναβῇ, ἠρεμήσαντα πλείω χρόνον ἢ τὸν ἐπιτυχόντα, οὕτω προκινεῖν αὐτὸν ὡς πρᾳοτάτοις σημείοις. Ἔπειτα δ' ἐκ τοῦ βραδυτάτου ἀρχόμενον, οὕτως αὖ εἰς τὸ θᾶττον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι αὑτὸν ὁ ἵππος εἰς τὸ ταχὺ ἀφικνούμενος. 4. Ὅ τι δ' ἂν ἐξαίφνης σημήνῃ, θυμοειδῆ ἵππον ὥσπερ ἄνθρωπον ταράττει

git. Hæret enim ſubito oratio in verbis *μάλιστα δ' ἂν, ἵππον—δέοι ἔχοντα.* Hæc enim non congruunt cum membris duobus antecedentibus, *ὡς ἂν ἥκιστα μὲν ἐξαπατῷτο, ἥκιστα δ' ἂν διαφθείραι*; debebat enim nunc ſequi: *μάλιστα δ' ἂν ἵππον ἀποδεικνύοι ἔχοντα.* Pariſ. A. omittit *εἰ*: quo facto, *ἀποδεικνύοι* ſupereſt ſcribendum.

συμβαίη] Ita Cod. Lipſ. et Pariſ. A. Vulgatum antea *συμβαίνῃ* in *συμβαίνοι* mutaverat Stephanus, ſolœcum revocarunt Zeune et Weiſke.

2. *τις [ὁ] μήτε—μηδὲν*] Articulum a male ſedula manu inſertum ſecluſi. Deinceps *οὐδὲν* a prima manu ſcriptum habet Codex Lipſ.

ἐξοργίζοι] Vulgatum *ἐξοργίζοιτο* ex Pariſ. A. correxi. Pro *θυμοειδῆ* male Juntina habet *θυμὸς εἰκῆ.*

3. *Εὐθὺς*] Vulgatum *εὐθὺ* correxit altera Stephaniana. Pro *αὐτίκα* dictum cenſet Weiſke interpretatus, *ut exemplum afferam, quod ſtatim in mentem venire poteſt.* Quæ ratio ab h. l. aliena eſſe videtur.

χρὴ ἐν τῇ ἀναβάσει] Cod. Lipſ. habet *οὕτω καὶ ἵππον ἀναβάνῃ.* Deinde *ἠρεμίσαντα* edidit Leunclavius. *λυπῇ* Pariſ. A.

ἢ τὸν ἐπιτυχόντα] Leuncl. *τυχόντα* ſcribi maluit. Zeune intelligit *χρόνον*, Weiſke rectius vulgarem equum, feroci oppoſitum.

βραχυτάτου] Brodæi conjecturam *βραδυτάτου* ſprevit Zeune, qui vulgatum tamen interpretatur dictum pro *βάδην.* Contra monet Weiſke, lentum equi inceſſum, a quo ſit incipiendum, eſſe jam ſignificatum verbo *προκινεῖν.* Itaque ſequentia ita interpretatur: *deinde quam minima celeritate primum uti.* In quo miror virum doctum poſuiſſe, *inceſſum lentum* ſignificatum eſſe verbo *προκινεῖν*, quaſi tu dicas, celeriorem curſum ſignificari verbo *προάγειν*, quo deinde utitur Xenophon. Utrumque enim verbum per ſe et ſeparatim poſitum nihil aliud ſignificat, niſi *incitare, impellere, adducere.* Modus et ratio curſus vocabulo addito aliquo definiri debet. Ad *προκινεῖν* adjecit Xenophon verba *σημείοις ὡς πρᾳοτάτοις*, quæ motum nullum ſignificant. Igitur Brodæi emendationem certiſſimam adſcivi.

οὕτως αὖ] Vulgatum *οὕτως ἂν* ex margine Villoiſ. et Pariſ. A. correxit Weiſke.

4. *ὥσπερ ἄνθρωπον*] Weiſke mancum et perturbatum locum eſſe cenſens, ſcribendum ſuſpicatur:—*ἵππον μάλιστα ἐκταράττει, ὥσπερ ἄνθρωπον ταράττει* et cet. Deinde ſcribit *ὅτι ἐν*

τὰ ἐξαπίναια καὶ ὁράματα καὶ ἀκούσματα καὶ παθήματα. Εἰδέναι δὲ χρὴ, ὅτι ἐν ἵππῳ τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται. 5. Ἢν δὲ καὶ εἰς τὸ θᾶττον ὁρμώμενον τοῦ καιροῦ ὑπολαμβάνειν βούλῃ τὸν θυμοειδῆ, οὐ δεῖ ἐξαπιναίως σπᾶν, ἀλλ' ἠρεμαίως προσάγεσθαι τῷ χαλινῷ, πραΰνοντα, οὐ βιαζόμενον ἠρεμεῖν. 6. Καὶ αἵ τε μακραὶ ἐλάσεις μᾶλλον ἢ αἱ πυκναὶ ἀποστροφαὶ πραΰνουσι τοὺς ἵππους· καὶ αἱ ἡσυχαῖαι μὲν πολὺν χρόνον καθεψοῦσι καὶ πραΰνουσι καὶ οὐκ ἀνεγείρουσι τὸν θυμοειδῆ. 7. Εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολλὰ ἐλαύνηται, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραΰνειν, τἀναντία γιγνώσκει τοῦ γιγνομένου. Ἐν γὰρ τοῖς τοιούτοις ὁ θυμοειδὴς καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ, καὶ σὺν τῇ ὀργῇ, ὥσπερ ἄνθρωπος ὀργίλος,

παντὶ ἵππῳ. Sed is comma, poſt ἄνθρωπον vulgo poſitum, ſuſtulit: quo facto, pendens oratio fulcrum aliquod deſiderabat. Loci perturbationem manifeſto arguit ſequens membrum, quod priori accommodare volens Leunclavius εἰδέναι οὖν χρὴ ſcribi voluit. Weiſkiana ratio τὸ ὕστερον πρότερον, quod eſt in vulgata ſcriptura, omnino non tangit. Igitur totum locum ita concinnandum cenſeo: Εἰδέναι δὲ χρὴ, ὡς ὅ τι ἂν ἐξαίφνης σημαίνῃ θυμοειδεῖ ἵππῳ, ὥσπερ ἄνθρωπον ταράττει—παθήματα, οὕτω καὶ ἵππῳ τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται. Pariſ. A. σημαίνῃ habet.

5. τοῦ καιροῦ] Vulgatum καὶ τοῦ ῥοῦ, quod eſt etiam in Cod. Lipſ. Pariſ. A. B. correxit Leuncl. et cum eo Zeune. Sed illud Brodæus defendens τῷ ῥῷ interpretatur τῆς ὁρμήσεως, quem ſecutus Weiſke antiquum reſtituit interpretatus: *Quod ſi et celeriter currentem etiam a ſummo impetu revocare vis equum ferocem.* Monet, eodem ſenſu ἐπιλαμβάνειν cum genitivo junctum eſſe ſect. 8. Verum ῥοῦν a proſaicis ſcriptoribus pro ὁρμήσει adhibitum fuiſſe unquam, exemplo idoneo allato non docuit Zeune nec Weiſke; deinde καὶ geminatum plane ineptum eſt. De loco ſect. 8. poſtea videbimus.

βούλῃ] Solœcum βούλει correxi cum Pariſ. A. Sequens προσάγεσθαι τῷ χαλινῷ eſſe puto *ſenſim adductis habenis retrahere.*

6. ἀποστροφαὶ] Auctore G. Hermanno in Comment. Lipſ. l. c. p. 56. ſunt alterius curſus initium, cum ἔλασις ſignificet curſum continuum, nulla pauſa diſtinctum; *repriſe* dicunt hodie. Male Interpretes *flexum* interpretari hic et cap. iii. 5. vii. 18. monet idem vir doctus. Cf. ad cap. vii. 14.

πολὺν χρόνον] Deinceps participium aliquod, veluti γιγνόμεναι vel ἐκτεινόμεναι, deſiderabat Weiſke. Ego vero plura deſidero. Quid enim eſt, quod reſpondere dicas antecedenti membro αἱ ἡσυχαῖαι μέν? Debebat nunc ſequi πολὺν δὲ χρόνον ἐκτεινόμεναι.

καθεψοῦσι] Conjectura Conr. Geſneri et H. Stephani καταψῶσι minime eſt probanda. Effectus coctionis hujus, quæ fit ſenſim incaleſcente equo ex longiore curſu, eſt ille, quem ſtatim ſubjicit verbo πραΰνουσι ſignificans. Deinde ante Stephanianam ἂν ἐγείρουσι legebatur editum.

7. πραΰνειν] Stephanus πραϋνεῖν ſcribi voluit; quod probo. Deinde τοῦ γιγνωμένου eſt in libro Lipſ. Articulum ante ἀναβάτην omittit Juntina.

πολλάκις καὶ ἑαυτὸν καὶ τὸν ἀναβάτην πολλὰ ἀνήκεστα ἐποίησεν. 8. Ἐπιλαμβάνειν δὲ χρὴ ἵππον θυμοειδῆ καὶ τοῦ εἰς τὸ τάχιστα ὁρμᾶν, τοῦ δὲ δὴ παραβάλλειν ἵππῳ καὶ παντάπασιν ἀπέχεσθαι· σχεδὸν γὰρ οἱ φιλονεικότατοι καὶ θυμοειδέστατοι τῶν ἵππων γίγνονται. 9. Καὶ χαλινοὶ δὲ οἱ λεῖοι ἐπιτηδειότεροι τῶν τραχέων. Ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ χαλαρότητι τῷ λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. Ἀγαθὸν δὲ, ἐθίζειν αὐτὸν καὶ τὸ ἠρεμεῖν, μάλιστα ἐπὶ θυμοειδοῦς ἵππου, καὶ τὸ ὡς ἥκιστα ἄλλῳ τινὶ ἅπτεσθαι, ἢ οἷς, τοῦ καθῆσθαι ἀσφαλῶς ἕνεκα, ἁπτόμεθα. 10. Εἰδέναι δὲ χρὴ, ὅτι δίδαγμά ἐστι καὶ τὸ ποππυσμῷ μὲν πραΰνεσθαι, κλωγμῷ δὲ ἐγείρεσθαι. Καὶ εἴ τις ἐξ ἀρχῆς ἐπὶ μὲν κλωγμῷ τὰ πρᾶα, ἐπὶ δὲ ποππυσμῷ τὰ χαλεπὰ προσφέροι, μάθοι ἂν ὁ ἵππος, ποππυσμῷ μὲν ἐγείρεσθαι, κλωγμῷ δὲ πραΰνεσθαι. 11. Οὕτως οὖν δεῖ καὶ παρὰ κραυγὴν καὶ παρὰ σάλπιγγα μήτ' αὐτὸν φαίνεσθαι τεθορυβημένον τῷ ἵππῳ, μήτε μὴν ἐκείνῳ θορυβῶδες μηδὲν προσφέρειν, ἀλλ' εἰς τὸ

8. *καὶ τοῦ εἰς τὸ*] Vulgatum *καὶ τοῦτο εἰς τὸ* correxit Stephanus, intellecto *ἀπό*. In Parif. libro A. et Lipf. eft *καὶ τοῦτον*. Deinde *τοῦ δὲ δεὶ* Cod. Lipf. *παραβάλλειν* eft *committere, ut certet curfu*, recte monente Weifkio. Parif. A. dat *παραβαλεῖν*.

σχεδὸν γὰρ οἱ φιλον.] Weifke monuit, hæc hoc ordine effe legenda: *σχεδὸν γὰρ καὶ φιλονεικότατοι οἱ θυμοειδέστατοι τῶν ἵππων γίγνονται*. In Junt. Ald. vitiofe fcriptum extat *θυμοειδέσταμοι*. Parif. A. *φιλονικότατοι*.

9. *τῷ λείῳ δεῖ*] Vulgatum *λειώδει*, quod Cod. Lipf. in *λειώδη* mutat, cum Leunclavio correxit Zeune. *λειώδει*, omiffo *τῷ*, Parif. A.

τὸ ἠρεμεῖν—τὸ ὡς] Welfiana recepit conjecturam Stephani *τῷ—τῷ*, merito improbatam a Zeunio, comparante Cyrop. viii. 6.

ἄλλῳ τινὶ] ne tangat corpus equi vel alio membro, quam quibus opus eft contingere equum, fi firmiter infidere velis, vel hafta, jaculove.

10. *καὶ τὸ*] Vulgatum *τῷ* correxi. Articulus pertinet ad infinitivum; fin ad nomen *ποππυσμῷ* pertineret, tum etiam deinceps *τῷ κλωγμῷ δὲ* fcribendum fuiffet. cf. fect. 12. Cod. Lipf. *πωπυσμῷ* habet.

κλωγμῷ] Hæc eft fcriptura Caftal. Bryl. et Camerarii; in ceteris Edd. ante Zeunianam, ut in Parif. A. erat *κλωσμῷ*. Pollux fect. 209. *κλωγμῷ δὲ ἐξεγείρειν τὸν ἵππον ἐρεῖς καὶ ῥοίζῳ· ταῦτα δὲ καὶ ὁρμητήρια [καὶ] σημεῖα ὀνομάζεται· ποππυσμῷ δὲ παριστάναι καὶ καθιστάναι*. Hefychius: *κλωγμὸς ὁ διὰ τῆς γλώττης περὶ τὸν οὐρανίσκον ψόφος, ὃν λάκησίν τινές φασιν, οἷον οἱ ὀνηλάται ποιοῦσι κυρίως.*

11. *παρὰ κραυγὴν*] Junt. Ald. Parif. A. *παρακραυγεῖν*. Poft *φαίνεσθαι* (quod verbum Cod. Lipf. omittit) Stephanus inferuit *προσιέναι*, fine dubio fumtum ex libro aliquo fcripto: nam Parif. A. id habet pro *φαίνεσθαι* fcriptum.

δυνατὸν καὶ ἀναπαύειν ἐν τῷ τοιούτῳ, καὶ ἄριστα καὶ δεῖπνα εἰ ἐγχωροίη προσφέρειν. 12. Κάλλιστον δὲ συμβούλευμα, τὸ ἄγαν θυμοειδῆ ἵππον μὴ κτᾶσθαι εἰς πολέμους. Βλακὶ γε μὴν ἵππῳ ἀρκεῖν μοι δοκεῖ γράψαι πάντα τἀναντία ποιεῖν, ὅσα τῷ θυμοειδεῖ χρῆσθαι συμβουλεύομεν.

CAPUT X.

De freni ratione et uſu ad equi habitum et ſpeciem efformandam.

1. Ἢν δέ τις ποτὲ βουληθῇ χρῆσθαι τῷ χρησίμῳ εἰς πόλεμον ἵππῳ μεγαλοπρεπεστέρῳ τε καὶ περιβλεπτοτέρῳ ἱππάζεσθαι, τοῦ μὲν ἕλκειν [τε] τὸ στόμα τῷ χαλινῷ, καὶ μυωπίζειν τε καὶ μαστιγοῦν τὸν ἵππον, (ἃ οἱ πολλοὶ ποιοῦντες λαμπρύνειν οἴονται) ἀπέχεσθαι δεῖ· πάντα γὰρ τἀναντία οὗτοί γε ποιοῦσιν, ὧν βούλονται· 2. τά τε γὰρ στόματα ἕλκοντες ἄνω, ἀντὶ τοῦ προορᾶν, ἐκτυφλοῦσι τοὺς ἵππους, καὶ μυωπίζοντες καὶ παίοντες ἐκπλήττουσιν, ὥστε ταράχθαι καὶ κινδυνεύειν. Ταῦτα δ' ἐστὶν ἵππων ἔργα τῶν μάλιστα ἀχθομένων ἱππασίᾳ, καὶ αἰσχρὰ καὶ οὐ καλὰ ποιούντων. 3. Ἐὰν δέ τις διδάξῃ τὸν ἵππον ἐν χαλαρῷ μὲν τῷ χαλινῷ ἱππεύειν, ἄνω δὲ τὸν αὐχένα διαίρειν, ἀπὸ δὲ τῆς κεφαλῆς κυρτοῦσθαι, οὕτως ἂν ἀπερ-

ἐγχωροίη] Ex libri Taurinenſis margine ductam a Leunclavio ſcripturam vulgatæ συγχωροίη recte prætulit Zeune.

12. θυμοειδεῖ] Primus dedit Stephanus pro θυμοειδῆ.

Cap. X. 1. ἕλκειν [τε] τὸ στόμα] Secluſi inutilem copulam τε, cum ſtatim ſequatur καὶ μυωπίζειν τε καὶ μαστιγοῦν.

2. τά τε γὰρ σχήματα] Hanc vulgatam librorum etiam ſcriptorum lectionem inepte explicare conatus eſt Weiſke. Manifeſtum enim eſt ſingularum propoſitionum ſectionis antecedentis rationem reddi. Igitur στόματα cum Leuncl. ſcripſi, quamquam τό τε γὰρ στόμα mallem.

ἀντὶ τοῦ προορᾶν] Vertunt, quaſi ἐᾷν vel ποιεῖν προορᾶν eſſet ſcriptum. Ita Weiſke, qui interpretatur: *cum ipſi equites proſpicere debeant viam, quod latentes jam poſt equi collum non poſſunt, equorum etiam oculos avertunt, quos in altum ſuſpicere coactos cœleſti lumine excœcant.* Sed ita ſcriptum oportuit ἀντὶ τοῦ προορᾶν αὐτοὶ καὶ ἐκτυφλοῦσι τοὺς ἵππους.

3. διαίρειν] *extendere altius, emporſtrecken* vertit Weiſke. Ipſe Xenophon mox ſimplex αἴρει τὸν αὐχένα dixit.

ἀπὸ δὲ τῆς κεφαλῆς κυρτοῦσθαι] Weiſke male interpretatur *quod atti-*

γάζοιτο ποιεῖν τὸν ἵππον, οἵοις περ καὶ αὐτὸς ἥδεταί τε καὶ ἀγάλλεται. 4. Τεκμήριον δὲ, ὅτι τούτοις ἥδεται· ὅταν γὰρ αὖθις ἔλθῃ παρ᾽ ἵππους, μάλιστα δὲ ὅταν παρὰ θηλείας, τότε αἴρει τε τὸν αὐχένα ἀνωτάτω, καὶ κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος· καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει, τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει. 5. Ὅταν οὖν τις αὐτὸν εἰς ταῦτα προάγῃ, ἅπερ αὐτὸς σχηματοποιεῖται, ὅταν μάλιστα καλλωπίζηται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ καὶ μεγαλοπρεπῆ καὶ γοργὸν καὶ περίβλεπτον ἀποφαίνει τὸν ἵππον. Ὡς οὖν ἡγούμεθα ταῦτ᾽ ἂν ἀπεργασθῆναι, νῦν αὖ πειρασόμεθα διηγεῖσθαι. 6. Πρῶτον μὲν τοίνυν χρὴ οὐ μεῖον δυοῖν χαλινοῖν κεκτῆσθαι. Τούτων δὲ ἔστω ὁ μὲν λεῖος, τοὺς τροχοὺς εὐμεγέθεις ἔχων, ὁ δὲ ἕτερος τοὺς μὲν τροχοὺς καὶ βαρεῖς καὶ ταπεινοὺς, τοὺς δ᾽

net ad caput (five *capite*) *contrahi.* Quanquam enim ipfe mox Xenophon dixerit κυρτοῖ μάλιστα τὴν κεφαλὴν, et Pollux, qui ex Xenophonte repetiit, fect. 211. ἐξέγειρε δὲ αὐτὸν ὁρμητηρίοις σημείοις καὶ ἀνάκρουε τῷ χαλινῷ, καὶ ἐνδίδου αὐτῷ τὸ στόμιον, ἵνα χαίρῃ τῇ χαλαρότητι, καὶ φέρηται ἀδεῶς (κυδρῷ recte Falkenb. Codex) τῷ σχήματι. οὐ δεῖ δὲ αὐτὸν μυωπίζειν, ἀλλὰ καὶ μᾶλλον καταψᾶν καὶ ἐγκελεύεσθαι καὶ διδάσκειν κυρτοῦσθαι τὴν κεφαλὴν, ὡς καὶ αὐτὸς σχηματοποιεῖται κατὰ τὸν πρὸς θηλείας καλλωπισμόν: tamen proprie cervix poft caput inflexa curvatur, nec ipfum caput curvari poteft dici.

4. αὖθις ἔλθῃ] Vulgatum θέλῃ correxit Stephanus, probante Leunclavio, qui αὐτὸς præterea fcribi voluit, quod fortaffe recipere item debebam. Vulgatum cum Zeunio defendit Weifke ita, ut interpretetur *retro ire*, *redire* (ad equas, quas eques forte erat prætervectus) *velit.* Sed Xenophon narrat, quid facere foleat equus a natura ipfa doctus, fi forte ad equos alios, inprimis vero ad equas fi accedat.

5. ἡδόμενόν τε τῇ ἱππασίᾳ] Negat hoc Weifke, et comparationem cum equo libero ad equas accedente fallere monet. Addit tamen, delectari videri poffe equum tali inceffu ab arte imperato, quatenus dolore aut incommodo levatur, uti fect. 12. aliifque locis legimus.

6. τοὺς τροχοὺς] Berenger comparavit Britannorum *olive bits.* Weifke *circulos* interpretatur, *Scheiben, Walzen.* Hi τροχοὶ non erant εὐμεγέθεις in omni freno, fed additi funt a noftro, ἵνα χάσκειν ἀναγκαζόμενος ὑπ᾽ αὐτῶν ὁ ἵππος ἀφίῃ τὸ στόμιον fect. 7. Pollux f. 184. τοῦ δὲ χαλινοῦ τὰ σιδήρια, ὑποστόμια, καὶ τῶν ὑποστομίων τὰ μὲν κοῖλα ἐχῖνοι, τὰ δὲ περιφερῆ καὶ πριονωτὰ τροχοὶ, τὰ δὲ στερεὰ καὶ προμήκη καὶ ἀλλήλοις ἀντεμπλεκόμενα ἐν ἁλύσεως εἴδει δακτύλιοι καὶ δάκτυλοι. Admonet Weifke, τροχοὺς non effe neceffario ferræ modo denticulatos; nam et in lævi freno funt h. l. Eorum autem ufum non alium effe, nifi ut equus eos fruftra lambat, volubiles videlicet circa axem, neque lingua protrudere verfus labra poffit. στόμια πριονωτὰ ex Ariftophane comico memoravit Pollux x. f. 56.

ὁ δὲ ἕτερος] Eft ὁ τραχύς. Male Pollux cum σκληρῷ confudiffe videtur. Ita enim ille fect. 207. εἰσὶ δὲ σκληροὶ χαλινοὶ οἱ ἔχοντες τροχοὺς τραχεῖς καὶ ἐχίνους ὀξεῖς. Præterea ille hic τραχεῖς

ἐχίνους ὀξεῖς· ἵνα, ὁπόταν μὲν τοῦτον λάβῃ, ἀσχάλλων τῇ τραχύτητι, διὰ τοῦτο ἀφίῃ, ὅταν δὲ τὸν λεῖον μεταλάβῃ, τῇ μὲν λειότητι αὐτοῦ ἥσθῃ, ἃ δὲ ὑπὸ τοῦ τραχέος ἐπαιδεύθη, ταῦτα καὶ ἐν τῷ λείῳ ποιῇ. 7. Ἢν δ' αὖ, καταφρονήσας τῆς λειότητος, θαμινὰ ἀπερείδηται ἐν αὐτῷ, τούτου ἕνεκα τοὺς τροχοὺς μεγάλους τῷ λείῳ προστίθεμεν, ἵνα, χάσκειν ἀναγκαζόμενος ὑπ' αὐτῶν, ἀφίῃ τὸ

videtur pro βαρεῖς ſcriptum legiſſe. Idem x. ſect. 56. σκληροὺς καὶ μαλακοὺς χαλινοὺς videtur male dicere, quos Xenophon τραχεῖς καὶ λείους. Alioquin σκληροὺς καὶ ὑγροὺς debebat dicere. Vocabulum ταπεινοὺς Weiſkio corruptum videtur. πυκνοὺς ſenſum commodiorem dare putabat: ἐχίνους interpretatur *globulos aculeatos*. Hos ſemper fuiſſe aculeatos, ipſum nomen videtur arguere. Idem Pollux i. ſ. 148. τὸ περὶ (Codd. παρὰ habent) τὸ γένειον διῃρημένον ψέλλιον, (ſcribe cum Weiſkio ψάλιον) τὸ δ' εἰς τὸ ςόμα ἐμβαλλόμενον χαλινὸς, οὗ τὸ μὲν μέσον ἡνίον (Codd. νίον), τὸ δὲ περὶ αὐτὸ δακτύλιοι, ἐχῖνοι, τρίβολοι, οὕσπερ μασᾶται ὁ ἵππος. Heſychius: τρίβολοι, ἀκάνθης εἶδος, ὅθεν καὶ τὸ τοῖς ἵπποις ἐν τοῖς χαλινοῖς ἐντιθέμενον. Pertinent hi ad frenum aſperum. Diverſi videntur in equo jugali δακτύλιοι, de quibus Pollux i. ſ. 147. τὰ δὲ ἐπανεστηκότα δερμάτια περὶ τὸν ἄξονα κατὰ τὰ παραξόνια παρατρόχια· οἱ δὲ σιδηροῖ κύκλοι, δι' ὧν διῄρηνται αἱ ἡνίαι, δακτύλιοι.

δ' ἐχίνους ὀξεῖς] Ita recte Caſtal. δ' ἐχιτίνους ὀξῆς Junt. ἐχετίνους ὀξεῖς Ald. Cod. Lipſ. Pariſ. A. B. ἐχίνους ὀξῆς Hal. Bryl. 1. Deinceps Pariſ. A. τραχύτητι αὐτοῦ τὸ ἀφίῃ dat, ſed αὐτοῦ ſecunda manus delevit.

ἀφίῃ] Ita Cod. Lipſ. pro ἀφείη vulgato. Deinde τὰ δὲ—ποίει Edd. pr. cum libro Lipſ. Sequens ἐπαιδεύθη monitu Zeunii dedi pro παιδευθῇ; alioquin τραχέος ἂν παιδευθῇ ſcribendum erat. τὰ δὲ ὑπὸ τοῦ—ποιεῖ dat Pariſ. A. B.

7. θαμινὰ] Edd. pr. cum libro Lipſ. Pariſ. A. θαμεινὰ. Deinceps ἐπερείδηται Leunclavii conjecturam recepit Welſiana. Quæritur de ſenſu verbi. Zeunianus Index de equo frenos mordente interpretatur. Et ſane verbum καταφρονήσας τῆς λειότητος, ut ſequens ἀφίῃ τὸ στόμιον, ſuſpicionem de contumacia equi in στόμιον incumbente injiciunt. Pollux nihil habet, quod huc trahi poſſit. Nam alio pertinere videtur locus ſect. 207. ὅτι τοὺς τραχεῖς χαλινοὺς οὐκ ἐῶσιν οἱ ἵπποι κατὰ χώραν, ἀλλὰ μεταβάλλουσιν ἐλπίδι τȣ̃ πρὸς τὸ ῥᾷον μεταστήσειν. Nam hoc videtur eſſe iſtud, quod ſ. 148. dicit μασᾶσθαι τοὺς τριβόλους τοῦ χαλινοῦ καὶ τοὺς ἐχίνους καὶ τοὺς δακτυλίους, idemque quod deſcribit noſter ſect. 9.

ὑπ' αὐτῶν] Ita cum Aldina Steph. et Leuncl. ὑπ' αὐτῷ Junt. Caſtal. Hal. Bryl. Sequens ἀφίῃ dedi ex Codice Lipſ. et Pariſ. A. Vulgatum ἀφείη Leuncl. mutari voluit in ἐφείη.

κατειλοῦντα] Pollux ſ. 207. εἰσὶ δὲ σκληροὶ χαλινοὶ οἱ ἔχοντες τροχοὺς τραχεῖς καὶ ἐχίνους ὀξεῖς. ἔστι δὲ καὶ τούτȣς ἐμπραΰνειν καταλειοῦντα καὶ κατακηροῦντα. Inſignem varietatem interpretes Pollucis non expedierunt, niſi quod Kühn comparavit locum Xenophontis ſect. 9. cap. ix. ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ χαλαρότητι τῷ λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. Sed χαλαρότης illa huc non pertinere videtur; exiſtit enim, cum habenis non adſtringitur frenum, ut apparet ex cap. x. ſ. 16. In Polluce Conr. Geſner pro κατακηροῦντα voluit κατακηλοῦντα ſcribi, quod nimis eſt poeticum. Si ratio aſperi freni emolliendi traditur in verbo κατειλοῦντα vera, tum etiam κατακηροῦντα probaverim. Ita lana circumobvoluta aut cera molli impacta aſperæ freni partes fieri poſſe videntur lenes et minus pungentes. Contra ſi ſcriptura κατατείνοντα vera eſt, ea eſt oppoſita χαλαρότητι, *laxitati*, et in verbo κατειλȣ̃ντα vel καταλειȣ̃ντα latere videtur notio relaxandi, veluti ἀγωγεὺς καταβεβλημένος dicitur cap. viii. ſ. 3. non adductus funis.

στόμιον. Οἷόν τε δὲ καὶ τὸν τραχὺν παντοδαπὸν ποιεῖν, καὶ κατειλοῦντα καὶ κατατείνοντα. 8. Ὁποῖοι δ' ἂν ὦσι χαλινοὶ, πάντες ὑγροὶ ἔστωσαν. Τὸν μὲν γὰρ σκληρὸν, ὅπῃ ἂν ὁ ἵππος λάβῃ, ὅλον ἔχει πρὸς ταῖς γνάθοις· ὥσπερ καὶ ὀβελίσκον, ὁπόθεν ἄν τις λάβῃ, ὅλον αἴρει. 9. Ὁ δὲ ἕτερος, ὥσπερ ἡ ἅλυσις, ποιεῖ· ὃ γὰρ ἂν ἔχῃ τις αὐτοῦ, τοῦτο μόνον ἄκαμπτον μένει, τὸ δὲ ἄλλο ἀπήρτη-

Weiſke nihil potuit extricare. *κατατείνειν τὸν χαλινὸν*, adductum intendere, habet Pollux f. 208. Similem locum in vita Homeri Plutarcho adſcripta cap. cxlvii. p. 550. ed. Hutten. reperi, ubi eſt: *ὡς τῇ λειότητι τῶν μελῶν τὴν τραχύτητα τῆς ψυχῆς καταγγέλλοντας.* ubi cum Xylandro Wyttenbach *καταστέλλοντας*, Barneſius *κατακηλοῦντας*, Erneſti *καταλεαίνοντας* ſcribendum conjecerunt.

8. *Ὁποῖοι δ' ἂν ὦσι*] Præclare vidit Weiſke, vulgatum *ὁπόσοι* vitioſum eſſe. Igitur verum poſui. Ita ſequitur ſect. 11. *ὁποῖος δ' ἄν τις ᾖ.*

ὑγροὶ] *mobiles*, *flexibiles*, *molles*; contra *σκληρὸς* eſt *durus*, cujus articuli, globuli et orbes ſunt *σύμπυκνοι*, arctius juncti, nec laxe (*χαλαρῶς*) moventur, diducuntur et coeunt. Ipſe Xenophon interpretatur mox ſect. 10.

ὀβελίσκον] Pollux f. 207. *τοῖς θυμοειδέσιν οὐκ ἐμβλητέον σκληροὺς χαλινούς· ἀναλαμβάνουσι γὰρ αὐτοὺς εἰς τὸ στόμα ὥσπερ ὀβελίσκους, εὐπαγεῖς ὄντας· ἀλλὰ ὑγροὺς, ἵνα, οὗ ἂν ὁ ἵππος προσάπτηται, τὸ λοιπὸν κάμπτηται, ὥσπερ ἅλυσις.* Cf. loca Arriani Indic. c. 18. et Æliani h. a. xiii. 9. Ex verbis Arriani licebit freni græci partes quaſdam accuratius definire: *οἱ δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσὶν οὐδὲ χαλινοῦνται τοῖσιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφερέως, ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ ἔχουσι δέρμα ὠμοβοϊνὸν ῥαπτὸν, περιηρτημένον, καὶ ἐν τούτῳ χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν·* (Hanc machinam Ælianus bene *κημοὺς κεντρωτοὺς* vocat in equis Indicis.) *ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν οἷόνπερ ὀβελὸν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες. ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι.* Hic igitur obelus *τῶν τροχῶν* vicem gerebat, ſed non erat articulatus, ſed ſolidus et unus. Deinde ex loco Arriani patet forma et uſus *κημοῦ*, de quo ſupra eſt cap. v. ſ. 3. *Κημὸς* dicitur etiam *φιμὸς* et *πνιγεὺς*, ut ex variis Pollucis, Heſychii aliorumque grammaticorum locis colligitur. Anytes Epigr. 4. *ἡνία δή τοι παῖδες—τράγε, φοινικόεντα θέντες καὶ λασίῳ φιμὰ περὶ στόματι.* Æſchylus Sept. 465. in equis bellatoribus habet *φιμοὺς μυκτηροκόμποις πνεύμασι πληρουμένους.* Pollux x. ſ. 56. *φιμοὺς αὐλωτοὺς* interpretatur dictos *διὰ τὸ ἔχειν κώδωνας προσηρτημένους, οἷς ἐγχρεμετίζοντες οἱ ἵπποι ἦχον ἐποίουν προσόμοιον αὐλῷ.* Æſchyli locum reſpicit, ut Heſychius in v. *αὐλωτοὶ*, quem poſuit Euſtathius ad Il. *σ*. verſu 14. *πώλους ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένους.* Unde apparet, uſum *κημοῦ* cum appenſis tintinnabulis, qualia ex ſcutis pendentia geſtunt bellatores Æſchylei et Rheſus in tragœdia cognomine, pertinuiſſe ad equos jugales et currui bellico junctos.

9. *ἅλυσις*] Stephanus cum Leunclavio *ἅλυσις* ſcripſerunt. Ex Euſtathio admonet Stephani Theſ. *ἅλυσιν*, catenam, ſcripſiſſe veteres, *ἄλυσιν* contra cum tenui dixiſſe pro *ἀλυσμῷ*. Libri ſcripti et editi non conſtant in ſcriptura vocabuli.

ἔχῃ] Cod. Lipſ. *ἔχοι* habet. Sequens *ἀπήρτηται*, *laxum pendet*, Weiſke interpretatur *elabitur*, *aberrat*, et putat, etiam *φεύγει* dici poſſe cum Xenophonte et *κάμπτεται* cum Polluce. In Juntina, Caſtal. Hal. Bryl. eſt *ἀπήρηται.*

ται· τὸ δὲ φεῦγον ἐν τῷ στόματι ἀεὶ θηρεύων, ἀφίησιν ἀπὸ τῶν γνάθων τὸ στόμιον. Τούτου ἕνεκα καὶ οἱ κατὰ μέσον ἐκ τῶν ἀξόνων δακτύλιοι κρεμάννυνται, ὅπως τούτους διώκων τῇ τε γλώττῃ καὶ τοῖς ὀδοῦσιν ἀμελῇ τοῦ ἀναλαμβάνειν πρὸς τὰς γνάθους τὸν χαλινόν. 10. Εἰ δέ τις ἀγνοεῖ, τί τὸ ὑγρὸν τοῦ χαλινοῦ, καὶ τί τὸ σκληρὸν, γράψομεν καὶ τοῦτο. Ὑγρὸν μὲν γάρ ἐστιν, ὅταν οἱ ἄξονες εὐρείας καὶ λείας ἔχωσι τὰς συμβολὰς, ὥστε ῥᾳδίως

ἀφίησιν ἀπὸ τῶν γνάθων τὸ στόμιον] Sect. 7. est *ἀναγκαζόμενος ὑπὸ τῶν μεγάλων τροχῶν ἀφίῃ τὸ στόμιον.* Idem memorat *στόμιον* cap. vi. s. 7. et 9. Posteriore loco dicitur: *ὅσον δεῖ, ἀπέχειν τὸν χαλινὸν τῶν γνάθων. ὁ μὲν γὰρ ἄγαν πρὸς αὐταῖς τυλοῖ τὸ στόμα, ὥστε ἀναίσθητον εἶναι, ὁ δὲ ἄγαν εἰς ἄκρον τὸ στόμα καθιέμενος ἐξουσίαν παρέχει συνδακόντι τὸ στόμιον μὴ πείθεσθαι.* Infra sect. 16. est: *ἢν δέ τις αὐτῷ δῷ τὸν χαλινὸν—διὰ τὴν χαλαρότητα τοῦ στομίου.* Unde apparere videtur, *πρὸς ταῖς γνάθοις τὸν χαλινὸν* vel *τὸ στόμιον* esse dici, cum in superiorem rictus partem retractum *στόμιον* tenetur. *εἰς ἄκρον τὸ στόμα* versus labra demissum *στόμιον* justo longius a *γνάθοις*, quas buccas interpretatur Weiske, recedit. Præter *στόμια* Pollux x. s. 56. memorat *στομίδας καὶ ὑποστόμια.* i. s. 184. *ὑποστομίων* partes facit echinos et *τροχούς.* Euripides Hippolyti versu 1223. *αἱ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις* de efferatis equis. In Æschyli Sept. c. Theb. versu 208. *ἱππικῶν τ' ἀΰπνων πηδαλίων διὰ στόμα πυριγενετᾶν χαλινῶν* postremus Editor *διαστόμια* scribi voluit, adeoque in secunda editione in textu posuit; quod facere metri lex si forte coegit, facile viro docto opinionem condono, sed factum probare non possum.

ἐκ τῶν ἀξόνων—κρεμάννυνται] Weiske *ἄξονας* esse ait, quæ alio nomine *στόμια* vocentur, et quæ vere *τροχῶν* et *ἐχίνων* essent axes. Ita in curru *ἄξονες* sunt *τὰ ξύλα τὰ τοὺς τροχοὺς φέροντα*, ut ait Hesychius. Sequitur enim Weiske Schefferum, qui *στόμιον* ferramentum unum *χαλινοῦ* esse censet, eam scilicet freni partem, quæ ori inserenda constaret ferramentis duobus ansa inter se connexis, ut flecti possent, sicut hodieque videmus. Ferramentum quodlibet per se esse *στόμιον*, et sic duo *στόμια* facere *χαλινόν.* Addit Weiske, utramque ansam per orbiculum perforatum annuli non mobilis videri ita fuisse insertam, ut extrema parte intra annulum in latum cusa (*vernietet*) laxe hæreret, ita ut circa suum axem facile verterentur. Firmari ait suam conjecturam loco Pollucis s. 148. *χαλινοῦ τὸ μὲν μέσον ἡνίον, τὸ δὲ περὶ αὐτὸ δακτύλιοι, ἐχῖνοι, τρίβολοι.* Quæ verba is ad equos jugales referre videtur. Sed ita nondum intelligo, quomodo *οἱ δακτύλιοι*, quos Pollux s. 184. *τὰ στερεὰ καὶ προμήκη καὶ ἀλλήλοις ἀντεμπλεκόμενα ἐν ἁλύσεως εἴδει* dicit, et Xenophon ex freni mediis axibus pendere ait, cum ipso freno fuerint conjuncti. Hos dum equus lingua et dentibus arripiens quasi mandit, (*μασᾶται*) frenum (*χαλινὸν*) vel *τὸ στόμιον* a *γνάθοις* recessisse, arguit Xenophontis narratio. Quare satis magno intervallo dependisse laxi et liberi videntur ab ea parte *ἀξόνων*, quam Xenophon verbis *κατὰ τὸ μέσον* designat. Locus is debet esse a media *στομίου* parte diversus, et propius abesse a fine *στομίου* utroque, quem *ἀξόνων* nomine intelligi suspicor. Comparat Berenger cum *δακτυλίοις* græci freni *that small chain in the upset or hollow part of our bits, called a player, with which the horse playing with his tongue and rolling it about, keeps his mouth moist and fresh.*

10. *εὐρείας*] Pollux s. 208. *ὑγροὶ δὲ* [*χαλινοὶ*] *οἱ εὐρείας καὶ λείας ἔχοντες τὰς συμβολὰς, ὡς ῥᾳδίως κάμπτεσθαι· καὶ πάντα ὅσα περιτίθεται περὶ τὸ στόμα, εὐρύστομα καὶ οὐ σύμπυκνα.*

ὥστε] Vulgatum *ὥσπερ* cum Casta-

κάμπτεσθαι· καὶ πάντα δὲ, ὁπόσα περιτίθεται περὶ τοὺς ἄξονας, ἢν εὐρύστομα ᾖ, καὶ μὴ σύμπυκνα, ὑγρότερά ἐστι. 11. Ἢν δὲ χαλεπῶς ἕκαστα τοῦ χαλινοῦ διατρέχῃ καὶ συνθέῃ, τοῦτ' ἔστι σκληρὸν εἶναι. Ὁποῖος δ' ἂν τις ᾖ, τούτῳ τάδε γε πάντα ταὐτὰ ποιητέον, ἤνπερ γε βούληται ἀποδείξασθαι τὸν ἵππον, οἷόν περ εἴρηται. 12. Ἀνακρουστέον μὲν τὸ στόμα τοῦ ἵππου οὔτε ἄγαν χαλεπῶς, ὥστε ἐκνεύειν, οὔτε ἄγαν ἡσύχως, ὡς μὴ αἰσθάνεσθαι. Ἐπειδὰν δὲ ἀνακρουόμενος αἴρῃ τὸν αὐχένα, δοτέον εὐθὺς τὸν χαλινόν. Καὶ τἄλλα δὲ δεῖ, ὥσπερ οὐ παυόμεθα λέγοντες, ἐν ᾧ ἂν καλῶς ὑπηρετῇ, χαρίζεσθαι τῷ ἵππῳ. 13. Καὶ ὅταν δ' αἴσθηται ἡδόμενον τὸν ἵππον τῇ τε ὑψηλαυχενίᾳ καὶ τῇ χαλαρότητι, ἐν τούτῳ οὐδὲν δεῖ χαλεπὸν προσφέρειν, ὡς πονεῖν ἀναγκάζοντα, ἀλλὰ θωπεύειν, ὡς παύσασθαι βουλόμενον· οὕτω γὰρ μάλιστα θαῤῥῶν πρόεισιν εἰς τὴν ταχεῖαν ἱππασίαν. 14. Ὡς δὲ καὶ τῷ ταχὺ θεῖν ἵππος ἥδεται, τεκμήριον· ἐκφυγὼν γὰρ οὐδεὶς βάδην πορεύεται, ἀλλὰ θεῖ. Τούτῳ γὰρ πέφυκεν ἥδεσθαι, ἢν μή

lione et Bryl. 3. correxit Zeune. Pollux ὡς excerpsit. Deinde περιτίθεσθαι est in Junt. Ald. Hal. Bryl. 1. Paris. A.

περὶ τοὺς ἄξονας] Male Pollux περὶ τὸ στόμα excerpsit. σύμπυκνα minus recte *densa* verti monet Weiske, cum sint potius *angusta*, *arcta*, μὴ σύμπυκνα, *laxa*, *dass die Theile Spielraum haben*. Superest vocabulum εὐρύστομα, quod, quanquam a Polluce etiam excerptum, minime tamen rei convenit. Quare Conr. Gesner εὐρύτερα conjecit scribendum, quod non displicet, et est dictum pro εὐρείας τὰς συμβολὰς ἔχοντα. Paris. A. εὐρόστομα habet.

11. διατρέχῃ καὶ συνθέῃ] Vulgatum συνθῇ Brodæus interpretatur *componantur*, quasi scriptum esset συντεθῇ. Camerarius *colliduntur*. Egregium Weiskii inventum, quod et mihi in mentem statim venerat, recepi. Opponitur τῷ διατρέχῃ, quod Weiske non nimis apte interpretatur: *discurrant, a se invicem per freni axes discedant*. In freno ferreo plures sunt articuli, qui si nimis arcte juncti difficulter diducti plicentur et replicentur, frenum ipsum *durum*, σκληρὸν dicitur, et membra ejus difficulter διατρέχειν καὶ συνθέειν.

πάντα ταὐτὰ] Iterum ingenium Weiskii et acumen laudandum est, qui vulgatum ταῦτα recte ita corrigendum vidit. Leuncl. id in τούτῳ, Zeune in ἐνταῦθα vel ταύτῃ mutari voluit. In Codice Lips. est ταῦτα πάντα: in Paris. A. ποιῇ.

12. Ἀνακρουστέον] Pollux f. 211. ἀνάκρουε τῷ χαλινῷ de equo ad pompam idoneo usurpat.

ὥστε ἐκνεύειν] *declinato capite devertere* interpretatur Zeune. Quidni idem significet, quod cap. v. 4. πάντα γὰρ ὅσα ἂν δύσκολα ᾖ περὶ τὸ πρόσωπον, ὁ ἵππος ἐκνεύειν πέφυκεν ἄνω?

δοτέον] Pollux l. c. ἐνδίδου αὐτῷ τὸ στόμιον. et f. 208. καὶ ἐνδίδου τὸν χαλινόν.

τις πλείω τοῦ καιροῦ θεῖν ἀναγκάζῃ· ὑπερβάλλον δὲ τὸν καιρὸν οὐδὲν τῶν πάντων ἡδὺ οὔτε ἵππῳ οὔτε ἀνθρώπῳ. 15. Ὅταν γε μὴν εἰς τὸ ἱππάζεσθαι μετὰ τοῦ κυδροῦ ἀφιγμένος ᾖ, εἰθισμένος μὲν δήπου ἦν ἐν τῇ πρώτῃ ἱππασίᾳ ἐκ τῶν στροφῶν εἰς τὸ θᾶττον ὁρμᾶσθαι. Ἢν δέ τις, τοῦτο μὲν μεμαθηκότος αὐτοῦ, ἅμα ἀντιλαμβάνηταί τε τῷ χαλινῷ, καὶ σημήνῃ τῶν ὁρμητηρίων τι τούτῳ, ὑπὸ μὲν τοῦ χαλινοῦ πιεσθεὶς, ὑπὸ δὲ τοῦ σημανθῆναι ὁρμῶν ἐγείρεται, καὶ προβάλλεται μὲν τὰ στέρνα, αἴρει δὲ ἀνωτέρω τὰ σκέλη ὀργιζόμενος, οὐ μέντοι ὑγρά γε· οὐ γὰρ μᾶλλον, ὅταν λυπῶνται, ὑγρῶς τοῖς σκέλεσιν ἵπποι χρῶνται. 16. Ἢν δέ τις οὕτως ἀνεζωπυρημένῳ αὐτῷ δῷ τὸν χαλινὸν, ἐνταῦθα ὑφ᾽ ἡδονῆς τῷ διὰ τὴν χαλαρότητα τοῦ στομίου λελύσθαι νομίζειν, κυδρῷ μὲν τῷ σχήματι, ὑγροῖν

14. ὑπερβάλλον] Facile erat Stephano Edd. pr. ὑπερβάλλων corrigere. Deinceps Edd. pr. οὐδὲ τὸ πάντων ἥδιον. Caſtal. Bryl. 3. cum libro Lipſ. οὐδὲ τῶν πάντων ἡδύ. Brodæus conjecit οὐδὲ τῷ πάντων οὐδενὶ ἥδιον. Equidem cum Zeunio Stephanum ſequor. Weiſke antiquum οὐδὲ τὸ πάντων ἥδιον revocavit, et intelligi verbum aliquod, veluti δοίης, προσφέροις, ἀρέσκοι, cenſuit. Totum locum interpretatur: *ultra ſatietatem ne jucundiſſima quidem res (delectat) neque equum neque hominem.* Quam ſententiam ſi extorquere velis ex ea ſcriptura, certe τὸ τῶν πάντων ἥδιστον ſcribendum erit.

15. μὲν—ἦν] Codex Lipſ. omiſſo μὲν præbuit ἦν, quod ipſum conjectura fuerat aſſecutus Weiſke, et ſubſtituerat in locum vulgati ἦν, quod Zeune cum Leunclavio in εἴη mutavit. Reſpicit nempe ad præceptum cap. vii. ſect. 17. ἦν habet etiam Pariſ. A.

ὁρμητηρίων] ſigno aliquo, quo ad curſum incitari ſolet. Pollux ſect. 210. ubi de κλωγμῷ et ῥοίζῳ tradit: ταῦτα δὲ καὶ ὁρμητήρια σημεῖα ὀνομάζεται. ubi temere Kühn καὶ interſeri voluit. Idem ſect. 211. de equo ad pompam idoneo: ἐξέγειρε δὲ αὐτὸν τοῖς ὁρμητηρίοις σημείοις καὶ ἀνάκρουε τῷ χαλινῷ. Pariſ. A. μὲν omittit poſt τοῦτο.

πιεσθεὶς—τοῦ σημανθῆναι ὁρμῶν] Vulgatam hujus loci ſcripturam πεισθεὶς—τοῦ ὁρμᾶν σημανθῆναι Leunclavius corrigere tentabat ſcribendo: πιέζεται vel πιεσθεὶς λυπεῖται, Weiſke ἐγερθείς. Weiſkiana ratio præter alia hoc etiam habet incommodum, quod ſequens copula καὶ fit inutilis et moleſta. In Leunclaviana unice amplector πιεσθεὶς, quod continet rationem contrariam τῷ ὁρμητηρίῳ σημείῳ. Itaque ex utroque motu contrario ſibi efficitur ille tertius motus πομπικὸς, quem affectabat ſcriptor in equo πομπικῷ. Equus enim dum inhibetur freno, (ἀντιλαμβάνηται τῷ χαλινῷ eques) ſimulque κλωγμῷ vel alio ὁρμητηρίῳ ad curſum incitatur, tum fit iſtud, quod narrat Xenophon: προβάλλεται et cet. Igitur mutatione leviſſima verbi ὁρμᾶν in ὁρμῶν et tranſpoſito eo verbo poſt σημανθῆναι locum feliciter ſanaſſe mihi videor. Berenger monet, hunc equi inceſſum ſuperbientem Gallis *l'union*, Britannis *putting together* vocari.

ὑγρῶς] Brodæus ὑγροῖς malebat ſcriptum.

16. τὸν χαλινὸν] Articulum cum Stephano et margine Villoiſ. et Pariſ. A. B. addidi, uti adeſt ſect. 12. et cap. xi. ſ. 3.

τῷ — νομίζειν] Duram orationem nemo Interpretum agnovit, niſi quod

δὲ τοῖν σκελοῖν γαυριώμενος φέρεται, παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους καλλωπισμόν. 17. Καὶ οἱ θεώμενοι τὸν ἵππον τοιοῦτον ἀποκαλοῦσιν ἐλευθέριόν τε καὶ ἐλευθερουργὸν καὶ ἱππαστὴν καὶ θυμοειδῆ καὶ σοβαρὸν, καὶ ἅμα ἡδύν τε καὶ γοργὸν ἰδεῖν. Καὶ ταῦτα μὲν δὴ, ἢν τούτων τὶς ἐπιθυμήσῃ, μέχρι τούτων ἡμῖν γεγράφθω.

CAPUT XI.

Qui equi et quomodo poſſint erudiri, ut ſubinde anteriora magnifice in altum extollant.

1. Ἢν δέ τις ἄρα βουληθῇ καὶ πομπικῷ καὶ μετεώρῳ καὶ λαμπρῷ ἵππῳ χρήσασθαι, οὐ μάλα μὲν τὰ τοιαῦτα ἐκ παντὸς ἵππου γίγνεται, ἀλλὰ δεῖ ὑπάρξαι αὐτῷ καὶ τὴν ψυχὴν μεγαλόφρονα, καὶ τὸ σῶμα εὔρωστον. 2. Οὐ μέντοι, ὅγε οἴονταί τινες, τὸν τὰ σκέλη ὑγρὰ ἔχοντα καὶ τὸ σῶμα αἴρειν δυνήσεσθαι, οὐχ οὕτως ἔχει· ἀλλὰ μᾶλλον, ὃς ἂν τὴν ὀσφὺν ὑγράν τε καὶ βραχεῖαν καὶ ἰσχυρὰν ἔχῃ, (καὶ οὐ τὴν κατ᾽ οὐρὰν λέγομεν, ἀλλ᾽ ᾗ πέφυκε μεταξὺ τῶν τε πλευρῶν καὶ τῶν ἰσχίων κατὰ τὸν κενεῶνα) οὗτος δυνήσεται πόῤῥω ὑποτιθέναι τὰ ὀπίσθια σκέλη ὑπὸ

καὶ τὸ ἔργῳ] Ita Aug. liber ex correctione habet, cum antea, ut in ceteris Edd. fcriptum effet τῷ ἔργῳ. Recte igitur recepit Weifke.

[κατὰ τὸν νόμον]] Hæc verba, ut temere repetita ex fectione præcedente, recte feclufit Weifke.

25. παρεσκευασμένους] Ad evitandam ambiguitatem auctorem fcribere debuiffe παρεσκευασμένης cenfet Weifke. Ceterum αὐτοὺς eft ex Aldina, τοὺς ceteræ Edd. quod in αὖ τοὺς mutari voluit Stephanus. Sequens εἰ deeft in Edd. vett. et Vrat. libro præter Aldinam. ἐν τῷ φιλοτιμ. dat Vratifl.

προδρόμους] Hi videntur Weifkio fuiffe turma quædam prætoriana. Antecedens εἰ Parif. omifit.

αὐτὸς δὴ] Vulgatum δὲ ex margine Leuncl. ita mutavit Weifke. Contra Caftalio αὐτὸς δὲ εὖ μάλα εἴης μεμελ. dedit, cum vitium vulgatæ vidiffet, quod defendere conatus eft Zeune. Optimum videtur cum libro Lipf Vrat. et Auguftano δὲ delere. Ceterum in margine Cod. Lipf. ad verbum εἰσηγοῖο adfcriptum legitur ἡγοῖο, quod mihi verum videtur comparanti fect. 21. ὅτι αὐτοὺς δεήσει ἡγουμένους τοῖς τῆς φυλῆς ἀκοντισταῖς ἐλαύνειν ἐπὶ τὸ ἀκόντιον. Parif. αὐτοὺς εὖ μάλα habet.

26. τοῦτο πάντας] Scripturam Edd. pr. Lipf. libri, Vrat. Parif. et Aug. revocavi cum Weifkio: τοῦτον ex conjectura Leunclavii cum Welfio dedit Zeune, ad antecedens τὶς referens.

ἐν τοῖς χοροῖς, ὡς μικρῶν ἄθλων ἕνεκα πολλοὶ μὲν πόνοι μεγάλαι δὲ δαπάναι τελοῦνται. Τοὺς μέντοι κριτὰς τοιούτους δεῖ εὑρίσκειν, παρ᾽ οἷς νικῶντες μάλιστ᾽ ἂν ἀγάλλοιντο.

CAPUT II.

De ordine equitum ad itinera omnis generis collocandorum.

1. Ἢν δὲ δή σοι ταῦτα πάντα ἐξησκημένοι ὦσιν οἱ ἱππεῖς, δεῖ δήπου καὶ τάξιν τινὰ ἐπίστασθαι αὐτούς, ἐξ ἧς κάλλιστα μὲν θεοῖς πομπὰς πέμψουσι, κάλλιστα δὲ ἱππάσονται, ἄριστα δὲ μαχοῦνται, ἢν δέῃ, ῥᾷστα δὲ καὶ ἀταρακτότατα ὁδοὺς πορεύσονται, καὶ διαβάσεις περάσουσιν. Ἧι τοίνυν χρώμενοι τάξει δοκοῦσιν ἄν μοι ταῦτα κάλλιστα διαπράττεσθαι, ταύτην νῦν ἤδη πειράσομαι δηλοῦν. 2. Οὐκοῦν ὑπὸ μὲν τῆς πόλεως ὑπάρχουσι διῃρημέναι φυλαί. Τούτων δ᾽ ἐγώ φημι χρῆναι πρῶτον μὲν δεκαδάρχους σὺν τῇ τῶν φυλάρχων ἑκάστου γνώμῃ καταστῆσαι ἐκ τῶν ἀκμαζόντων τε καὶ φιλοτιμοτάτων καλόν τι ποιεῖν καὶ ἀκούειν· καὶ τούτους μὲν προστάτας δεῖ εἶναι. 3. Μετὰ δὲ τούτους ἴσους χρὴ τούτοις ἀριθμὸν ἐκ τῶν πρεσβυτάτων τε καὶ φρονιμωτάτων ἑλέσθαι, οἵτινες τελευταῖοι τῶν δεκάδων ἔσονται. Εἰ γὰρ δεῖ καὶ ἀπεικάσαι,

Cap. II. 1. δεῖ δήπου] Liber Aug. δεῖ δήπως. Deinde ἑξῆς Edd. pr.

κάλλιστα μὲν—κάλλιστα δὲ] Junt. et ceteræ Edd. pr. κάλλιστα μὲν—μάλιστα δὲ, quod revocavit Zeune. καλλίστας — κάλλιστα Aldina cum Vratiſl. et Pariſ. habet, probante Stephano et Leunclavio: ſed quod dedit Weiſke, eſt in libro Lipſ. et Aug. ἱππάσουσι dat Vrat.

2. δεκαδάρχους] Cod. Lipſ. et Pariſ. δεκάρχους habent: ſimiliter variatur ſcriptura in δεκαδαρχίαις a Lacedæmoniis in urbes græcas introductis, de quibus Harpocration et ad eum Valeſius p. 17.

ἑκάστου] Ante Stephanum erat ἑκάστους.

καλόν τι—ἀκούειν] Laudem virtutis ſignificavit ita etiam cap. viii. ſect. 22.

προστάτας] Vulgatum, quod eſt etiam in libris vulgatis Hellenicorum ii. 4. 16. ibidem cum Wyttenbachio et hic defendit Weiſke; Morus utrobique præferebat πρωτοστάτας, quod legitur infra ſect. 6. et de Laced. republ. xi. 5. Sine varietate legitur προστατῶν Cyrop. iii. 3. 41. et ſect. 6. infra Vratiſl. dat προστάται.

3. τούτους ἴσους] Edd. pr. præter Aldinam ἴσως; liber Lipſ. habet τούτο μέσως. Deinde ἀριθμῷ eſt in margine Steph. et Leuncl.

οὕτω καὶ σίδηρος μάλιστα διατέμνει σίδηρον, ὅταν τό τε ἡγούμενον τοῦ τομέως ἐῤῥωμένον ᾖ καὶ τὸ ἐπελαυνόμενον ἱκανόν. 4. Τούς γε μὴν ἐν μέσῳ τῶν πρώτων καὶ τῶν τελευταίων, ἐπεὶ οἱ δεκάδαρχοι ἐπιστάτας ἕλοιντο, καὶ οἱ ἄλλοι ἐφέλοιντο, οὕτως εἰκὸς ἑκάστῳ πιστότατον τὸν ἐπιστάτην εἶναι. 5. Τὸν μέντοι ἀφηγούμενον ἐκ παντὸς τρόπου δεῖ ἱκανὸν ἄνδρα καθιστάναι. Ἀγαθὸς γὰρ ὤν, εἴτε ποτὲ δέοι ἐπὶ πολεμίους ἐλαύνειν, ἐγκελεύων, ῥώμην ἂν ἐμβάλλοι τοῖς ἔμπροσθεν· εἴτ' αὖ καὶ ἀποχωρεῖν καιρὸς συμβαίνοι, φρονίμως ἀφηγούμενος, μᾶλλον ἄν, ὡς τὸ εἰκός, σώζοι τοὺς φυλέτας. 6. Οἱ μέντοι δεκάδαρχοι ἄρτιοι ὄντες, πλείω ἴσα μέρη παρέχοιεν ἂν διαιρεῖν, ἢ εἰ

ἡγούμενον καὶ τὸ μέσον ἐῤῥωμένον ᾖ] Hanc Caſtal. et Bryl. 3. ſcripturam probavit Zeune. In Junt. Ald. Hal. eſt τοῦτο δὲ μέσως ἐῤῥωμένον, quod recepit Steph. et Leuncl. In margine Leuncl. extat τό τε μέσον ἐῤῥωμένον, quod Welſiana in τὸ δὲ μέσον mutavit. Vitium manifeſtum arguit mentio mediæ aciei ab h. l. aliena. Igitur Codicis Aug. præclaram ſcripturam τομέως recte recepit Weiſke. In Vratiſl. eſt οὕτως καὶ σίδηρος ὅταν τόγε (ſupra ſcripto τότε) ἡγούμενον τοῦ τομέως. In Weiſkiana male tranſlocata verba τοῦ τομ. et ante ᾖ inſerta leguntur. Verum eſt etiam in Pariſ. Vocabulum habet Pollux x. ſ. 141. τὰ δὲ σκυτοτόμων σκεύη τομεὺς ἐν Πλάτωνος Ἀλκιβιάδῃ. In Platone ſect. 51. vulgo editur: ὥσπερ σκυτοτόμος τέμνει που τομῇ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις. Sed vitium vidit et correxit Jungermann ad Pollucem, et τομεῖ ſcriptum legit; et ita interpretatur Scholion editum a Ruhnkenio p. 82. τομεύς ἐστιν ἐργαλεῖον τὴν βάσιν ἔχον κυκλικὴν, σμίλη δὲ ἡμικυκλικήν. Ex hoc vero Xenophontis loco patet, τομέως uſum latius patuiſſe; ferrum enim h. l. dicitur vel ſecare vel perforare τομεύς.

4. δεκάδαρχοι] Aldina cum libro Lipſ. et Pariſ. δέκαρχοι habet.

οἱ ἄλλοι] Ipſos extremos equites cum Zeunio interpretatur Weiſke. Sed id non ſufficere cenſet idem vir doctus ad intelligendum, *ita quemque ſpem in eo reponere poſſe, qui deinceps a tergo ſuo ſit locatus.* Itaque veretur, ut hæc ſint integra. Comparat Cyrop. iii. 3. 41. ſqq. vi. 3. 25. et Memorab. iii. 1. 8. Acutiſſime vitium vidit Weiſke; emendationem equidem certam attuliſſe mihi videor ἐφέλοιντο ſcribendo. Ita apud Thucydidem iv. 38. bis dicitur τῶ δὲ μετ' αὐτὸν Ἱππαγρέτου ἐφῃρημένου—αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. qui latine *ſuffectus* dicitur. Vulgo hic legebatur ἐφέποιντο.

5. ἀφηγούμενον] Weiſke τὸν φύλαρχον interpretatur; recte, puto. Deinceps εἴποτε a prima manu Pariſ.

ἐγκελεύων] Pariſ. κελεύων habet, quo auctore deinceps vulgatum ἐμβάλοι correxi.

σώζοι τοὺς] σώζοιτο τοὺς habet Pariſ. Y.

6. ἄρτιοι ὄντες] Weiſke fatetur, ſibi totam rem eſſe obſcuram. Primo hoc ipſum, *decuriones eſſe pari numero, non impari, v. c. 20, non 25*, quid ad rem faciat, neſcire ſe ait. Non minus enim phylarchos quindenis imperare poſſe, etſi imparibus, quam vicenis. Deinde in veſtigium veræ interpretationis ingreſſus: *An hoc vult auctor, (quod rei optime conveniret)* δεκάδας *rurſus dirimi poſſe in binas* πεμπάδας, *cum* ἐνωμοτία, *ipſi ceterum probata, in duas partes æquales dirimi non poſſit, ut ei præſint bini duces? Vide* iv. 9. Id tamen deſeruit ideo, quod δεκάδ-

περιττοὶ εἶεν. Αὕτη δέ μοι ἡ τάξις ἀρέσκει διὰ τάδε, ὅτι πρῶτον μὲν οἱ προστάται πάντες ἄρχοντες γίγνονται· οἱ δ' αὐτοὶ ἄνδρες ὅταν ἄρχωσι, μᾶλλόν πως οἴονται ἑαυτοῖς προσήκειν τι καλὸν ποιεῖν, ἢ ὅταν ἰδιῶται ὦσιν· ἔπειτα δὲ καὶ ὅταν πρακτέον τι ᾖ, τὸ παραγγέλλειν μὴ ἰδιώταις ἀλλ' ἄρχουσι πολὺ ἀνυτικώτερον. 7. Τεταγμένων γε μὴν οὕτως, χρὴ, ὥσπερ καὶ τοῖς Φυλάρχοις προαγορεύσεται ἡ χώρα ὑπὸ τοῦ ἱππάρχου, ἐν ᾗ ἑκάστῳ ἐλατέον, οὕτω καὶ τοῖς δεκαδάρχοις παρηγγέλθαι ὑπὸ τῶν Φυλάρχων, ὅπως πορευτέον ἑκάστῳ. Οὕτω γὰρ προειρημένων, πολὺ εὐτακτοτέρως ἂν ἔχοι, ἢ εἰ, ὥσπερ ἐκ θεάτρου, ὡς ἂν τύχωσιν ἀπιόντες λυπῶσιν ἀλλήλους. 8. Καὶ μάχεσθαι δὲ μᾶλλον ἐθέλουσιν οἵ τε πρῶτοι, ἤν τι ἐκ τοῦ πρόσθεν προσπίπτῃ, οἳ ἂν εἰδῶσιν, ὅτι αὕτη ἡ χώρα αὐτῶν· καὶ οἱ τελευταῖοι, ἤν τι ὄπισθεν ἐπιφαίνηται, ἐπιστάμενοι, ὅτι αἰσχρὸν λιπεῖν τὴν τάξιν. 9. Ἄτακτοι δ' ὄντες ἀλλήλους μὲν ταράττουσι καὶ ἐν στεναῖς ὁδοῖς, καὶ ἐν διαβάσεσι, τοῖς δὲ πολεμίοις οὐδεὶς ἑκὼν αὐτὸν τάττει μάχεσθαι. Καὶ ταῦτα μὲν δὴ πάντα ὑπάρχειν δεῖ ἐκπεπονημένα πᾶσι τοῖς ἱππεῦσιν, εἰ μέλλουσιν ἀπροφάσιστοι ἔσεσθαι σύνεργοι τῷ ἡγουμένῳ.

αρχοι dicuntur, non δεκάδες. Zeune monuerat, noſtrum rem voluiſſe inſtitui ad normam militiæ Spartanæ, de qua ſit de Rep. Laced. xi. 5. Sed inde parum lucis affulgere ſibi fatetur Weiſke. Res mihi ſatis aperta eſſe videtur. Vult numerum decurionum omnium eſſe parem, quo facilius is in plures minores partes vel numeros dividi poſſit, quorum unicuique officii et dignitatis aliquid poſſit aſſignari. Ita fit, ut plures ἄρχοντες ſint, iique omnes in primo ordine conſtitui poſſint, ut in acie Laconica: εἰσὶ μὲν γὰρ ἐν τῇ Λακωνικῇ τάξει οἱ πρωτοστάται ἄρχοντες. ubi vide annotata.

7. προαγορεύσεται] Eſt pro προαγορευθήσεται; ſed malim cum Zeunio ſcriptum προαγορεύεται.

παρηγγέλθαι] Edd. pr. παρηγγέλθη præter Aldinam. Sequens εἰ poſt ἢ deeſt in Juntina, Hal. prioribus Bryl. Pariſ. Cod. B. C. et Lipſ. Deinceps malim λυποῖεν.

8. τι ἐκ τοῦ—προσπίπτῃ] Junt. Ald. τοι ἐκ τȣ πρόσθε προσπίπτει. Deinceps ἴδωσιν dat Vratiſl.

ἐπιφαίνηται] Quod eſt in libro Pariſ. A. dedi pro vulgato ἐπιφέρηται. Idem voluit Cod. Lipſ. et Vratiſl. in quibus eſt φαίνηται, ut in margine Steph. et Leuncl. ἐπιφέρνηται Pariſ. Y.

9. ἑκὼν αὐτὸν] Ante Stephanum erat αὐτὸν; pronomen id plane omiſit Codex Lipſ. et Vratiſl.

μὲν δὴ] Cod. Lipſ. a recentiore manu ſcriptum δὴ habet.

CAPUT III.

De ratione et ordine decurſionum, quæ per urbem et per gymnaſia, partim religionis partim luſtrationis cauſa, inſtituendæ ſunt.

1. Τῶνδε γε μὴν αὐτῷ ἤδη μέλειν δεῖ ἱππάρχῳ· πρῶτον μὲν, ὅπως καλλιερήσει τοῖς θεοῖς ὑπὲρ τοῦ ἱππικοῦ· ἔπειτα, ὅπως τὰς πομπὰς ἐν ταῖς ἑορταῖς ἀξιοθεάτους ποιήσει· ἔτι δὲ καὶ τἆλλα, ὅσα ἐπιδεικνύναι δεῖ τῇ πόλει, ὅπως ᾗ δυνατὸν κάλλιστα ἐπιδείξει, τά τ' ἐν Ἀκαδημίᾳ καὶ τὰ ἐν Λυκείῳ καὶ τὰ Φαληροῖ καὶ τὰ ἐν τῷ Ἱπποδρόμῳ. Καὶ ταῦτα μὲν ἄλλα ὑπομνήματα· ὡς δὲ τούτων ἕκαστα κάλλιστα ἂν πράττοιτο, νῦν αὐτὰ λέξω. 2. Τὰς μὲν οὖν πομπὰς οἴομαι ἂν καὶ τοῖς θεοῖς κεχαρισμενωτάτας καὶ τοῖς θεαταῖς εἶναι, εἰ, ὅσων ἱερὰ καὶ ἀγάλματα ἐν τῇ ἀγορᾷ ἐστι, ταῦτα, ἀρξάμενοι ἀπὸ τῶν Ἑρμῶν κύκλῳ περὶ τὴν ἀγορὰν καὶ τὰ ἱερὰ περιελαύνοιεν,

Cap. III. 1. αὐτῷ] *ſoli* recte interpretatur Weiſke. Deinceps Pariſ. οὐδὲ pro ἤδη, Vrat. dat μέλλει: ſed idem καλλιερέσῃ—ποιήσει dat: unde conjunctivum, qui vulgo legitur, correxi. Idem ἐπιδείξῃ a ſecunda demum manu habet, et δὲ poſt ἔτι omittit. Deinde ὅπως ᾗ δυνατὸν κάλλιστα ἐπιδεῖξαι Codicis Aug. et Pariſ. lectionem temere probavit Weiſke.

τά τ' ἐν Ἀκαδημίᾳ] Ante Stephanum erat ταῦτ' ἐν Ἀκαδημείᾳ. Verum habet Pariſ. Sequens Φαληροῖ vulgato Φαλαροῖ recte ex libro Lipſ. Pariſ. et Aug. ſubſtituit Weiſke. Hoc idem habet Stephanus Byz. h. v. qui addit καὶ πληθυντικῶς τὰ Φάληρα. Ξενοφῶν Ἱππαρχικῷ. Itaque Zeune ſuſpicabatur, eum h. l. Φαληροῖς ſcriptum legiſſe. Sed Lucas Holſtein in annotatione errorem Stephani annotavit et vitium ſcripturæ vulgare hujus loci correxit.

2. Ἑρμῶν] Quorum cum magna eſſet copia in urbe, (vide Interpretes ad Nepotis Alcib. 3.) certa parte fori, in aliqua porticu fortaſſe, plures collocati erant. Hæc ad h. l. Weiſke. Hæc eſt στοὰ ἡ τῶν Ἑρμῶν memorata ab Æſchine contra Cteſiphontem p. 572. De his ita Harpocration ſub vocabulo Ἑρμαῖ docet ex Menecle: ἀπὸ γὰρ ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων, ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν. De his ſubjungam loca ſcriptorum, quæ pertinent ad exercitationes equeſtres. Athenæus iv. p. 167. Demetrius Demetrii Phalerei filius τοῖς Παναθηναίοις ἵππαρχος ὢν ἰκρίον ἔστησε πρὸς τοῖς Ἑρμαῖς Ἀρισταγόρᾳ (pellici ſuæ) μετεωρότερον τῶν Ἑρμῶν. unde apparet, ſpectatores conveniſſe ad Hermas. Demoſthenes contra Midiam p. 570. τοῦτον ἐχειροτονήσατε — πάλιν ἵππαρχον, ὀχεῖσθαι διὰ τῆς ἀγορᾶς ταῖς πομπαῖς οὐ δυνάμενον.—ἵππαρχος δὲ χειροτονηθεὶς λελύμανται τὸ ἱππικὸν ὑμῶν τοιούτους θεὶς νόμους, οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τεθεικέναι.—ἱππαρχῶν τοίνυν ἵππον οὐκ ἐτόλμησεν ὁ λαμπρὸς καὶ πλούσιος οὗτος πρίασθαι, ἀλλ' ἐπ' ἀλλοτρίου τὰς πομ-

τιμῶντες τοὺς θεούς. Καὶ ἐν τοῖς Διονυσίοις δὲ οἱ χοροὶ προσεπιχαρίζονται ἄλλοις τε θεοῖς καὶ τοῖς δώδεκα χορεύοντες. Ἐπειδὰν δὲ πάλιν πρὸς τοῖς Ἑρμαῖς γένωνται περιεληλακότες, ἐντεῦθεν καλόν μοι δοκεῖ εἶναι κατὰ φυλὰς εἰς τάχος ἀνιέναι τοὺς ἵππους μέχρι τοῦ Ἐλευσινίου. 3. Οὐδὲ δόρατα μὴν παραλείψω ὡς ἥκιστα ἂν ἀλλήλοις ἐπαλλάττοιτο. Δεῖ γὰρ μεταξὺ τοῖν ὤτοιν τοῦ

πὰς ἡγεῖτο. Plutarchus Phocionis c. 37. ἦν δὲ ἡμέρα μηνὸς Μουνυχιῶνος ἐνάτη ἐπὶ δέκα, καὶ τῷ Διῒ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξῄεσαν, ὧν οἱ μὲν ἀφείλοντο τοὺς στεφάνους et cet. Eſt de Diaſiis ſermo. Phocionis filius Phocus apud Athenæum iv. p. 169. νικήσας ἵπποις Παναθηναίοις dicitur. Is ſcilicet certamine equeſtri vicerat, quod genus ἀποβάτην vocabant. Hiſtoriam certaminis tangit Harpocration ſub eo vocabulo, ad quem compara annotationem Valeſii p. 94. ἀγωνίσασθαι Παναθηναίοις ἀποβάτην dicit Plutarchus Phocionis c. 20. Sed de Hermis pertinet inprimis huc locus Mneſimachi comici apud Athenæum ix. p. 402. Μάνη, στεῖχ' εἰς ἀγορὰν πρὸς τὲς Ἑρμᾶς, οὗ προσφοιτῶσ' οἱ φύλαρχοι τούς τε μαθητὰς τὲς ὡραίους (διδάσκουσιν,) οὗ ἀναβαίνειν ἐπὶ τοὺς ἵππους μελετᾷ Φίδων καὶ καταβαίνειν. Unde diſcimus, in vicinia Hermarum publicas fuiſſe equitum exercitationes.

Ceterum pompa omnis procedebat e Ceramico, in quo medio ſitum fuiſſe Leocorium docet Heſychius. Thucydides vi. 57. de magnis Panathenæis: Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ διεκόσμει ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι. Cap. 58. μετὰ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς προπομπὰς ποιεῖν. Idem libri i. cap. 20. τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον τὴν Παναθηναϊκὴν πομπὴν διακοσμοῦντι, ἀπέκτειναν. Navis peplo ornata Minervæ deducta per medium Ceramicum procedebat uſque ad Eleuſinium; idque circumvecta præter murum Pelaſgicum et Apollinis Pythii templum in locum ſuum reducebatur. Hæc docuit Meurſius in libro de Panathenæis p. 30. 31. ubi ſimul docet, peplum ad arcem deductum in templum Minervæ fuiſſe. Ordinem integrum pompæ ex locis veterum colligere et deſcribere non licuit Meurſio, nec is decurſiones equeſtres a Xenophonte deſcriptas attigit. Idem in Lectionibus Atticis ii. 12. p. 76. pompam enarravit.

Addo locum Himerii ex Oratione iii. dicta ad Baſilium proconſulem, qui Athenas vere ſpectaturus Panathenæa minora venerat. Is ordinem pompæ ita deſcribit p. 445. ἄρχεται (ἡ τριήρης, navis deducenda Minervæ) μὲν εὐθὺς ἐκ πυλῶν τῆς ἀναγωγῆς ἡ ναῦς· κινηθεῖσα δὲ ἐκεῖθεν ἤδη—διὰ μέσου τοῦ Δρόμου κομίζεται, ὃς εὐθυτενὴς καὶ λεῖος καταβαίνων ἄνωθεν σχίζει τὰς ἑκατέρωθεν αὐτῷ παρατεταμένας στοὰς, ἐφ' ὧν ἀγοράζουσιν Ἀθηναῖοί τε καὶ οἱ λοιποί. (Porticus ad dextram βασίλειον et Jovis Eleutherii, ad ſiniſtram porticum Hermarum intelligit Wernſdorf.)

οἱ χοροὶ] Cod. Lipſ. οἱ θεοὶ ſcriptum habet inepte. Antecedens δὲ omittit Vratiſl.

τοῖς δώδεκα] Ex Salluſtio philoſopho c. 6. nomina et officia annotavit et cum romanis *diis conſentibus* comparavit Weiſke, qui ſtatuas eorum circa forum Athenis fuiſſe poſitas, uti Romæ, cenſebat. Per τὲς δώδεκα θεὲς jurat Cleon in Ariſtophanis Equit. 235. eoſdem comice nominat Avium verſu 95. Picturas deorum duodecim in pariete porticus ποικίλης memorat Pauſanias i. 3. Aram duodecim deorum commemorat Lycurgus orator p. 198. Calliſtratum καταφυγόντα ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν nominans. Eandem aram nominat Plutarchus Niciæ cap. 13.

πρὸς τοῖς Ἑρμαῖς] Cod. Lipſ. ἐπὶ τοῖς Ἑρμαῖς habet. καὶ τ. Ἑ. Pariſ.

3. ἐπαλλάττοιτο] Leunclaviana apud Wechelum ἐπαλλάττοιντο vitioſe dedit.

ὤτοιν] Edd. pr. et Cod. Lipſ. cum Vrat. et Pariſ. νώτοιν vitium correxit

ἵππου ἕκαστον σχεῖν, εἰ μέλλοι φοβερά τε καὶ εὐκρινὴ ἔσεσθαι, καὶ ἅμα πολλὰ φανεῖσθαι. 4. Ἐπειδὰν δὲ τῆς εἰς τάχος διελάσεως λήξωσι, τὴν ἄλλην ἤδη καλὸν σχέδην εἰς τὰ ἱερὰ, ᾗπερ καὶ πρόσθεν, διελαύνειν. Καὶ οὕτως, ὅσα ἐστὶν ἐν ἵππῳ ἀναβεβαμένῳ, πάντα ἐπιδεδειγμένα ἔσται καὶ τοῖς θεοῖς καὶ τοῖς ἀνθρώποις. 5. Καὶ ὅτι μὲν ταῦτα οὐκ εἰθισμένοι ποιεῖν οἱ ἱππεῖς εἰσιν, οἶδα· γιγνώσκω δὲ, ὅτι ἀγαθὰ καὶ καλὰ καὶ τοῖς θεαταῖς ἡδέα ἔσται. Αἰσθάνομαι δὲ καὶ ἄλλα ἀγωνίσματα τοὺς ἱππέας κεκαινουργηκότας, ἐπειδὴ οἱ ἵππαρχοι ἱκανοὶ ἐγένοντο πεῖσαι ἃ ἠβουλήθησαν. 6. Ὅταν γε μὴν πρὸ τοῦ ἀκοντισμοῦ διελαύνωσιν ἐν Λυκείῳ, καλὸν ἑκατέρας τὰς πέντε φυλὰς ἐπὶ τοῦ μετώπου ἐλαύνειν ὥσπερ εἰς μάχην,

Castalio. Sequens μέλλοι debetur Stephano, μέλλει est in Edd. pr. et libro Lipf. μέλῃ in Vrat.

4. διελάσεως] Ante Stephanum erat διαλάσεως, quam scripturam sequens διελαύνειν coarguit.

τὴν ἄλλην] Intellige διέλασιν. Sequens σχέδην Hesychius interpretatur ἡσυχῇ, βάδην. Pollux i. sect. 214. σχεδία ἱππασία καὶ σχέδιον ἱππάζεσθαι καὶ ῥύμη. ubi Codd. σχέλην dant, in quo σχέδην rectum latet. Semus Athenæi xiv. p. 622. οἱ αὐτοκάβδαλοι καλούμενοι ἐστεφανωμένοι κιττῷ σχέδην ἐπέραινον ῥήσεις. Idem postea: οἱ δὲ φαλλοφόροι —στάδην δὲ ἔπραττον. ubi miror doctissimo Corayo conjecturam αὐτοσχέδην, nova forma et notione vocabuli, in mentem venisse. Postea πρόσθε præter Aldinam habent Edd. pr.

Καὶ οὕτως] Ante Stephanum erat καὶ ὅπως.

ἐστὶν—ἤδη] Brodæi correctionem ἰδεῖν scribentis præferebam antea, quam voculam deesse in Vratisl. cognovissem. Zeunii εἴδη locum hic suum non habuerit. Weiskii ratio ὅσα ἔστιν ἐν ἵππῳ ἤδη ἀναβεβαμένῳ, in qua e sequentibus ἐπιδεικνύναι repetendum est, quam sit aliena, docet ipsa versio, quam addit: *quæ licet (ostendere) in equo jam exercitato.* Equus ἀναβεβαμένος ἤδη est potius, qui jam sessorem tulit vel equitem impositum, minime vero *jam exercitatus.* In Edd. pr. ut in Vrat. erat ἀναβεβασμένῳ et ἐπιδεδειμένα. Prius vitium Leuncl. cum Stephano, posterius Castalio correxit.

5. ποιεῖν οἱ ἱππεῖς εἰσιν] Cod. Lipf. diverso ordine ποιεῖν εἰσιν οἱ ἱππεῖς. Sequens ἔσται sola Aldina dedit, in ceteris Edd. pr. abest. Postea τοῖς θεαταῖς in τοῖς θεοῖς inepte mutavit Codex Aug. et Parif. Ceterum consilium idem hoc post Xenophontem dedit Anaximenes in Rhetorica vulgo Aristoteli tributa cap. 3. ἐπεὶ συμπομπευόντων ὁπλιτῶν, ἱππέων, ψιλῶν εὐτολμότεροι γένοιντο ἂν οἱ πολῖται φιλοτιμούμενοι περὶ ταῦτα. et postea: πρὸς δὲ τοὺς πολέμους ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖται διεσκευασμένοι συμπομπεύωσι.

6. ἐν Λυκείῳ] Promiserat sect. 1. docere τά τ᾽ ἐν Ἀκαδημίᾳ καὶ τὰ ἐν Λυκείῳ—καὶ τὰ ἐν τῷ ἱπποδρόμῳ, ὅσα δεῖ ἐπιδεικνύναι τῇ πόλει.

ἐπὶ τοῦ μετώπου] *latiore agmine equitare, ita ut* βάθος *seu profunditas sit nulla*, interpretatur Zeune. Infra c. iv. 3. et 9. est πλατύνειν et μηκύνειν τὸ μέτωπον τῆς φυλῆς et τὸ μέτωπον τῆς τάξεως. Cyrop. ii. 4. 1. εἰς μέτωπον στῆναι παρήγγειλε τῷ πρώτῳ τεταγμένῳ ταξιάρχῳ. De Laced. rep. xi. 8. τῷ ἐνωμοτάρχῃ παρεγγυᾶται εἰς μέτωπον παρ᾽ ἀσπίδα καθίστασθαι. Hinc Polybio μετωπηδὸν ἄγειν, ποιεῖσθαι τὴν ἔφο-

ἡγουμένου τοῦ ἱππάρχου, καὶ τῶν Φυλάρχων, ἐν τοιαύτῃ τάξει, ἀφ' ἧς πληρώσεται τοῦ δρόμου τὸ πλάτος. 7. Ἐπειδὰν δὲ ὑπερβάλωσι τὸ κεφάλαιον τοῦ ἀντιπροσώπου θεάτρου, χρήσιμον ἂν οἴομαι φανῆναι, καὶ εἰ, καθ' ὁπόσους μέτριον, εἰς τὸ κάταντες δυναμένους ταχὺ ἐλαύνειν ἐπιδείξαις τοὺς ἱππέας. 8. Οὐ μέντοι ἀγνοῶ, ὅτι, ἢν μὲν πιςεύωσι δυνήσεσθαι ταχὺ ἐλαύνειν, πάνυ ἂν ἡδέως ἐπιδείξαιντο· ἢν δὲ ἀμελέτητοι ὦσιν, ὁρᾷν χρὴ, ὅπως μὴ οἱ πολέμιοι αὐτοὺς τοῦτο δρᾷν ἀναγκάσουσιν. 9. Ἔν γε

δον, acie in frontem porrecta, et *ἐν μετώπῳ*, eadem in linea, *ἐπὶ τῆς αὐτῆς εὐθείας*. Cf. Index Schweighæuferi Polybianus.

τοῦ δρόμου] Hic eft alter *δρόμος*, diverfus ab eo, quem fupra ex Himerio pofui. Lyceo *γυμνάσιον* addidit Lycurgus orator ex publica pecunia ædificatum tefte Paufania i. 29. 16. Scholia Ariftophanis ad Pac. 356. et Suidas de Lyceo: *ὅπου πρὸ τοῦ πολέμου ἐγυμνάζοντο. πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγένοντο ἐν τῷ Λυκείῳ, διὰ τὸ παρακεῖσθαι τῇ πόλει, καὶ ἀποδείξεις τῶν μάλα πολεμικῶν ἀνδρῶν.* Apud Ariftophanem chorus queritur: *ἀπολλύμεθα καὶ κατατετρίμμεθα πλανώμενοι ἐς Λυκεῖον κἀκ Λυκείου σὺν δορὶ σὺν ἀσπίδι τε.*

7. *Ἐπειδὰν δὲ ὑπερβάλωσι τὸ κεφάλαιον τοῦ ἀντιπροσώπου θεάτρου*] Vulgatum *ὑπερβάλλωσι* e Lipf. Aug. Parif. correxit Weifke. Præcedens *δὲ* fola habet Aldina cum Parif. Sequens *κεφάλαιον* Index Zeunianus *cardinem* interpretatur inepte. Weifke tacuit. Videtur effe fumma pars theatri monti, in quo erat acropolis, acclinati, vel viæ, quæ propter theatrum per montem ducebat, ut in Cyri difciplina *τάφρου κεφαλὴ* dicitur. Paufanias i. 21. *Ἐπὶ δὲ τοῦ Νοτίου καλουμένου τείχους, ὃ τῆς ἀκροπόλεως ἐς τὸ θέατρόν ἐστι τετραμμένον, ἐπὶ τούτου Μεδούσης— ἀνάκειται κεφαλή.—ἐν δὲ τῇ κορυφῇ τοῦ θεάτρου σπήλαιόν ἐστιν ἐν ταῖς πέτραις ὑπὸ τὴν ἀκρόπολιν· τρίπους δ' ἔπεστι καὶ τούτῳ.* Quem locum illuftrat alius Philochori apud Harpocrationem v. *κατατομὴ*, quem apponam: *Αἰσχραῖος Ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ θεάτρου τρίποδα καταργυρώσας, νενικηκὼς τῷ πρότερον ἔτει χορηγῶν παισὶ, καὶ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας.* Pars igitur petræ, cui acclinatum erat theatrum, excifa videtur dici *κατατομή*; quanquam Pollux iv. 123. partem theatri facere velle videatur, falfus fortaffe loco aliquo fimili, Hyperidis fragmento, apud Harpocrationem, ubi eft: *καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ.* Paufaniæ *κορυφὴ τοῦ θεάτρου* videtur eundem locum fignificare, quem Xenophon *κεφάλαιον* dixit. *ὑπ' αὐτὴν τὴν ἀκρόπολιν* fitum theatrum, *οὗ τὸν Διόνυσον ἐπὶ τὴν ὀρχήστραν διατιθέασιν*, narrat Dio Chryfoft. Or. xxxi. p. 631. Dicæarchus: *ὁ καλούμενος Παρθενὼν ὑπερκείμενος τοῦ θεάτρου μεγάλην κατάπληξιν ποιεῖ τοῖς θεωροῦσι.* Viam, quæ fupra theatrum e monte deorfum ducebat a Lyceo in contrariam partem, *τὸ κάταντες*, *partem declivem*, Xenophon vocat. Denique *ἀντιπρόσωπον* dicitur theatrum Lyceo exeuntibus equitibus; unde recte viri docti arguunt, theatrum in latere acropoleos orientali, Lyceo adverfo, fitum fuiffe, et ante id Odeum. Cf. Barthélemy Itiner. Græc. vol. ii. p. 399. ed. Bipont. ubi tamen verba Xenophontis male converfa ita extant: *Lorfque les cavaliers auront paffé l' angle du theatre qui eft à l' oppofite.*

Ceterum in Vratifl. libro eft *καὶ ἡ, καθ' ὁπόσους—ἐπιδεῖξαι—εἰ μὲν πιστεύσωσι.* Parif. *ἢν μὲν πιςεύσωσι—ἀναγκάσωσιν.*

καθ' ὁπόσους] *quotcunque conjunctos* Camerarius, *quot fatis eft, fimul decurrere* Zeune interpretatur.

εἰς τὸ κάταντες] Exemplum decurfionis ejufmodi Zeune affert ex Anab. iv. 8. 28. et comparat de re equeftri viii. 6. Deinde *ἐπιδεῖξαι* habet Caftal. Hal. Bryl. cum Vratifl.

μὴν ταῖς δοκιμασίαις ἡ μὲν τάξις εἴρηται, μεθ' ἧς ἂν κάλλιστα ἱππάζοιντο. Ἢν δὲ ὁ ἡγούμενος, ἥν περ ἔχῃ δυνατὸν ἵππον, ἐν τῷ ἔξωθεν ἀεὶ στίχῳ περιφέρηται, οὕτως αὐτὸς μὲν ἀεὶ ταχὺ ἐλᾷ, καὶ οἱ σὺν αὐτῷ ἔξωθεν γιγνόμενοι πάλιν αὖ ταχὺ ἐλῶσιν· ὥστε ἡ μὲν βουλὴ ἀεὶ τὸ ταχὺ ἐλαυνόμενον θεάσεται, οἱ δὲ ἵπποι οὐκ ἀπεροῦσιν, ἐν μέρει ἀναπαυόμενοι. 10. Ὅταν γε μὴν ἐν τῷ ἱππο-

9. δοκιμασίαις] Lyſias p. 523. τοῦ νόμου κελεύοντος, ἐάν τις ἀδοκίμαστος ἱππεύῃ, ἄτιμον εἶναι.

Ἢν δὲ ὁ] Cum Leunclavio δὲ pro δ' poſuit Zeune propter aſperum ſpiritum ſequentem. Cod. Lipſ. δὲ ὁ omiſit, a recentiore manu adſcripta. Paulo antea Vratiſl. μάλιστα dat. Pariſ. στοίχῳ.

οὕτως αὐτὸς] Leunclavii conjecturam vulgato οὗτος ſubſtitui. οὗτος καὶ αὐτὸς Vratiſl. dat. Sequens ταχὺ omiſit Cod. Lipſ.

οὐκ ἀπεροῦσιν] Vitium Edd. pr. et Vrat. ἀπαίρουσιν correxit Camerarius et Stephanus. Ceterum rem ſibi obſcuram viſam eſſe fatetur Weiſke, qui περιφέρηται ſignificare putat, ducem modo huc modo illuc ad oppoſitum ex altero latere ordinem ſe conferre, adeo ut converſis equitibus ille rurſus ducat eos, qui ante pedetentim inceſſerant. Mihi ita videtur. Dux, ſi eſt hipparchus ipſe, nec στίχου cujuſque πρωτοστάτης, in circulum fertur equitans, hoc eſt περιφέρεται, et primo loco primum στίχον equis incitatis ſequentem ducit, deinde rediens in curſu ad ſecundum στίχον, eum eadem ratione ducit. Interim vero, donec ordo pervenerit ad extremum στίχον, reliqui alternis ex curſu conquieſcunt.

10. ἐν τῷ ἱπποδρόμῳ] Etymolog. M. Ἐνεχελιδῶ, τόπος Ἀθήνῃσι σταδίων ὀκτὼ, ἐν ᾧ αἱ ἱπποδρομίαι, ἀπό τινος Ἐχέλου. Heſychius: Ἐνεχελιδῶν· — ἔστι δὲ ὁ Ἀθηναίων ἱππόδρομος — ἐν ᾧ ἱππικοὶ ἤγοντο ἀγῶνες. Idem: ἵππειος δρόμος, τετραστάδιός τις. Plutarchus in Solone c. 19. τὸ δὲ ἱππικὸν διάστημα τεσσάρων ἦν σταδίων. Stephanus Byz. Ἐχελίδαι, δῆμος τῆς Ἀττικῆς, ἀπὸ Ἐχέλου ἥρωος· οὗτος δ' ἀπὸ ἕλους τόπου μεταξὺ ὄντος τοῦ Πειραιέως καὶ τοῦ Τετρακώμου Ἡρακλείου, ἐν ᾧ τοὺς γυμνικοὺς ἀγῶνας ἐτίθεσαν τοῖς Παναθηναίοις. Demoſthenes c. Euergum p. 1155. γεωργῶ δὲ πρὸς τῷ ἱπποδρόμῳ καὶ οἰκῶ ἐνταῦθ' ἐκ μειρακίου. et p. 1162. γεωργῶ δὲ πρὸς τῷ ἱπποδρόμῳ, ὥστε οὐ πόῤῥω ἔδει αὐτὸν ἐλθεῖν.

Noſter in Memorab. iii. 3. 6. ubi Socrates cum electo recens hipparcho loquitur: ἐάν που κινδυνεύειν δέῃ, πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθαπερ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἷοισπερ οἱ πολέμιοι γίγνονται; ad quem locum egregie facit illuſtrandum gloſſa ex Lexico rhetorico MS. prolata ad Timæi Gloſſar. p. 23. ἁλίπεδον, ἀμμῶδες πεδίον, ἀπὸ ἁλὸς, ὅπερ ἐστὶ θάλασσα, πέδον δὲ, ὅπερ ἐστὶ γῆ πεποιημένη, παρὰ τὸ ἁλίζεσθαι ἐκεῖ τοὺς ἵππους· ἐν γὰρ τοῖς τοιούτοις χωρίοις ἀμμόδρομοι ἦσαν. Harpocration inter alia de hoc vocabulo ita: τινὲς δέ φασι παρὰ τὸ ἀλινδεῖσθαι ἵππους ἐν αὐτῷ δύνασθαι οὕτως ὀνομασθῆναι. quæ eadem habet Etymol. M.

Hippodromus ab Homero jam nominatus eſt Iliadis xxiii. 330. λεῖος δ' ἱππόδρομος ἀμφὶς, i. e. circum metam utrinque plana terra eſt curſui equorum et curribus idonea. Primum enim certaminibus curulibus hippodromi fuerunt ſtructi, uti Olympicus, cujus accuratam deſcriptionem dedit Pauſanias vi. 20. 7. ſeqq. in qua annotari merentur verba: παρεχομένου δὲ τοῦ ἱπποδρόμου παρήκουσαν ἐς πλέον τὴν ἑτέραν τῶν πλευρῶν, ἔστιν οὖν ἐπὶ τῆς μείζονος πλευρᾶς, οὔσης χώματος, κατὰ τὴν δίεξοδον τὴν διὰ τοῦ χώματος, τὸ τῶν ἵππων δεῖμα ὁ Ταράξιππος. Quæ facere mihi videntur ad illuſtrandam πέδην ἑτερομήκη de Equitatione vii. 14.

Hippodromum Trœzenium in fabuloſo litore fuiſſe arguunt loca hæc

δρόμῳ ἡ ἐπίδειξις ᾖ, καλὸν μὲν οὕτω πρῶτον τάξασθαι, ὡς ἂν ἐπὶ μετώπου ἐμπλήσαντες ἵππων τὸν ἱππόδρομον ἐξελάσειαν τοὺς ἐκ τοῦ μέσου ἀνθρώπους. 11. Καλὸν δὲ, ἐπεὶ αἱ φυλαὶ ἐν τῇ ἀνθιππασίᾳ φεύγουσί τε ἀλλήλους καὶ διώκουσι ταχέως, ὅταν οἱ ἵππαρχοι ἡγῶνται ταῖς πέντε φυλαῖς, ἑκατέρας διελαύνειν τὰς φυλὰς δι' ἀλλήλων. Ταύτης γὰρ τῆς θέας τό τε ἀντιμετώπους προσελαύνειν ἀλλήλοις, γοργόν· τό τε διελάσαντας τὸν ἱππόδρομον ἀντίους πάλιν στῆναι ἀλλήλοις, σεμνόν. 12. Καὶ τὸ ἀπὸ σάλπιγγος αὖ τὸ δεύτερον θᾶττον ἐπελαύνειν, καλόν. Στάντας δὲ ἤδη, τὸ τρίτον αὖ ἀπὸ τῆς σάλπιγγος χρὴ τάχιστα ἀλλήλοις ἐπελαύνειν, καὶ διελάσαντας, εἰς κατάλυσιν ἤδη ἐπὶ φάλαγγος ἅπαντας καταστάντας, ὥσπερ εἰώθατε, πρὸς τὴν βουλὴν προσελαύνειν. 13. Ταῦτά μοι δοκεῖ πολεμικώτερά τε φαίνεσθαι ἂν καὶ καινό-

Hippolyti Euripidei, 229. 230. 1137. 1144. ad quæ comparandæ ſunt virorum doctorum annotationes.

11. δὲ, ἐπεὶ] Ex Aug. vulgatum δ', ἐπεὶ correxit Weiſke.

ἀνθιππασίᾳ] Heſychius: ἀνθιππασιῶν, τῶν ἱππέων ἄσκησις, καὶ ἀγῶνες αὐτῶν. Suidas: διϊππασία καὶ ἀνθιππασία τῶν ἵππων ἅμιλλα. Idem Suidas in ἀνθιππασία breviora habet, quæ in vitioſo ἀνιππασία dederat antea. Infra cap. v. 4. ſunt αἱ μετὰ φιλίας ἀνθιππασίαι.

ἵππαρχοι] Junt. Aldina, Halenſis ὕπαρχοι habent. Deinceps ante Stephanum edebatur τότε διελάσαντες. Codex Pariſ. B. διεξελάσαντες habet. Lipſ. cum Edd. primis facit.

12. αὖ τὸ δεύτερον] Ita veterum Edd. et Cod. Lipſ. αὐτὸ correxit Stephanus.

διελάσαντας, εἰς κατάλυσιν] Edd. vett. διελαύσαντας correxit Stephanus. διεξελάσαντας dat Pariſ. Deinde verba εἰς κατάλυσιν cum prioribus vulgo juncta Ribitti interpretatur: *uſque ad eum finem, dum feſſi ſitis.* Camerarius de ſoluto prioris decurſionis ordine explicat, Leunclavius de fine jam ludis imponendo, recte probante Zeunio. " ad finem jam imponendum equitationi, cum luſtratione facta jam in eo ſunt, ut diſcedant." Ita Weiſke. Senſu aberrare nemo facile poteſt; ſed verba erant concinnanda ita, ut ſenſui congruerent. Mutata igitur diſtinctione, verba εἰς κατάλυσιν cum ſequentibus copulanda: εἰς κατάλυσιν ἤδη ἐπὶ φάλαγγος καταστάντας. Nam διελαύνειν εἰς κατάλυσιν nunquam eam ſententiam fundent, quam res flagitat. Sed video, etiam iſtum ordinem habere, quod offendat. Ad prius enim membrum pertinet ἤδη, ut eſt in antecedente: στάντας δὲ ἤδη, τὸ τρίτον αὖ—διελαύνειν. Sic igitur nunc ſequitur: καὶ διελάσαντας ἤδη, (τὸν ἱππόδρομον) εἰς κατάλυσιν. Oportet igitur verba εἰς κατάλυσιν interpretari de exitu certaminum; ſed dura mihi videtur eorum poſitio et conſtructio.

πρὸς τὴν βουλὴν] Hic locus et alter extremæ ſectionis 14. οὕτω γὰρ—θεάσεται ἡ βουλὴ, arguit ſenatum præſediſſe alicubi, puto ad Hermas, his equitum decurſionibus.

13. πολεμικώτερά τε] Primus Stephanus τε addidit, et habet Vratiſl.

τερα. Τὸ δὲ βραδύτερον μὲν τῶν φυλάρχων ἐλαύνειν, τὸν δ' αὐτὸν τρόπον ἐκείνοις ἱππεύειν, οὐκ ἄξιον ἱππαρχίας. 14. Ὅταν γε μὴν ἐν τῷ ἀποκρότῳ ἐν Ἀκαδημίᾳ ἱππεύειν δέῃ, ἔχω τάδε παραινέσαι· εἰς μὲν τὸ μὴ ἀποκρούεσθαί ποτε τῶν ἵππων, ὑπτίους ἀναπεπτωκότας ἐλαύνειν· εἰς δὲ τὸ μὴ πίπτειν τοὺς ἵππους, ὑπολαμβάνειν ἐν ταῖς ἀναστροφαῖς. Τὰ μέντοι ὀρθὰ ταχὺ ἐλαύνειν χρή· οὕτω γὰρ τὸ ἀσφαλὲς καὶ τὸ καλὸν θεάσεται ἡ βουλή.

CAPUT IV.

De itineribus in bello faciendis.

1. Ἔν γε μὴν ταῖς πορείαις ἀεὶ δεῖ τὸν ἵππαρχον προνοεῖν, ὅπως ἀναπαύῃ μὲν τῶν ἵππων τὰς ἕδρας,

βραδύτερον—ἐλαύνειν] Intelligo *τοὺς ἱππέας*, eumque morem vulgo uſitatum reprehendit Xenophon. Deinceps *ἱππεῦσιν* dat Vratiſl.

14. *ἐπικρότῳ*] Cum in libro de Equitatione vii. 15. ſit *δεῖ δὲ καὶ ὑπολαμβάνειν ἐν ταῖς στροφαῖς—ἄλλως τε κἂν ἀπόκροτον ἢ ὀλισθηρὸν ᾖ τὸ χωρίον*, Leunclavius idem, qui ibi *ἐπίκροτον* probaverat, hoc in loco etiam idem vocabulum tuetur, quod Weiſke in *ἀποκρότῳ* mutari voluit, ut ſignificet *τὸ κάταντες*, devexum, declivem locum. Certe hanc ſignificationem ſententia loci flagitat; nec ea ineſſe videtur vocabulo *ἐπικρότῳ*, quod in univerſum durum terræ ſolum deſignat, nulla habita ratione loci declivis aut acclivis. Par tamen non eſt utriuſque loci ratio, ſed in priore ferri poteſt vulgatum *ἐπίκροτον*, quia *ὀλισθηρὸν* junctum habet, ſed in hoc noſtro *ἀποκρότῳ* verum eſt, quod reſtitui. Contra in Plutarchi Eumene c. 16. *πεδίον οὔτ' ἀπόκροτον καὶ στερεὸν, ἀλλὰ θινῶδες*, ſcribendum cenſeo *ἐπίκροτον*. Locus Thucydidis vii. 27. eſt appoſitus ad h. l. de Athenienſibus a Lacedæmoniis ad Deceliam oppugnatis: *ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων, πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων, καὶ κατὰ τὴν χώραν φυλαττόντων, οἱ μὲν ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐτιτρώσκοντο.* ubi ex Weiſkii ratione ſcribendum eſſet *ἐπικρότῳ*. Quid interſit, docet optime locus Ariſtotelis h. a. v. 33. de teſtudine marina ova in terra pariente et in ſcrobe deponente: *τεκοῦσα δὲ κατορύττει καὶ τὸ ἄνω ποιεῖ ἐπίκροτον.* ubi Codex B. Rhenani male *ἐπικροτῶν* ſcriptum habet, verſio antiqua latina ex græco facta habet: *et deſuper facit cumulum.* Codices reliqui non variant. Galeni locum poſuit Stephani Theſaurus, ubi recte *ἐπίκροτος* de æqua et dura terræ ſuperficie dicitur. Poteſt tamen multis locis *ἀπόκροτος* æque ac *ἐπίκροτος* recte adhiberi, ubi ſoli ſilicea durities veſtigium impoſitum quaſi repellit.

ἐλαύνειν] Zeune *δεῖ* aut *χρὴ* intelligendum cenſet; Weiſke contra recte monuit, infinitivum pendere a præcedente *ἔχω παραινέσαι.*

Τὸ μέντοι ὀρθὰ] ubi ſine flexu recta via procurrere licet, *ὀρθοδρομεῖν* interpretatur Weiſke: Camerarius autem *per ardua loca* vertens *ὄρθια* ſcribi voluit. Atque ita, ſi *τὸ ἀπόκροτον* eſt locus declivis ex opinione Weiſkii, recte opponentur *τὰ ὄρθια.*

καλὸν θεάσεται] Juntina *καθεάσεται* edidit.

Cap. IV. 1. *τὰς ἕδρας*] ſeſſiones ſunt, ut de Equit. vii. 5. Accuſativos *ὀχοῦντα — πεζοπορεῦντα* pertinere ad

ἀναπαύῃ δὲ τοὺς ἱππέας τοῦ βαδίζειν, μέτριον μὲν ὀχοῦντα, μέτριον δὲ πεζοποροῦντα. Τοῦ δὲ μετρίου ἐννοῶν οὐκ ἂν ἁμαρτάνοις· αὐτὸς γὰρ μέτρον ἕκαστος τοῦ μὴ λαθεῖν ὑπερπονοῦντας. 2. Ὅταν μέντοι, ἀδήλου ὄντος, εἰ πολεμίοις ἐντεύξῃ, πορεύῃ που, κατὰ μέρος χρὴ τὰς φυλὰς ἀναπαύειν. Χαλεπὸν γὰρ, εἰ πᾶσι καταβεβηκόσι πλησιάσειαν οἱ πολέμιοι. 3. Καὶ ἢν μέν γε διὰ στενῶν ὁδῶν ἐλαύνῃς, ἀπὸ παραγγέλσεως εἰς κέρας ἡγητέον· ἢν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς, ἀπὸ παραγγέλσεως αὖ πλατυντέον τῆς φυλῆς ἑκάστης τὸ μέτωπον· ὅταν γε μὴν εἰς πεδίον ἀφικνῆσθε, ἐπὶ φάλαγγος πάσας τὰς φυλάς. Ἀγαθὸν γὰρ, καὶ μελέτης ἕνεκα ταῦτα ποιεῖν, καὶ τοῦτο ἥδιον, διαπερᾶναι τὰς ὁδοὺς, ποικίλλοντας ἱππικαῖς τάξεσι τὰς πορείας. 4. Ὅταν μέντοι ἔξω τῶν ὁδῶν διὰ δυσχωρίας ἐλαύνητε, μάλα χρήσιμον καὶ ἐν πολεμίᾳ καὶ ἐν φιλίᾳ προελαύνειν τῆς φυλῆς ἑκάστης τῶν ὑπηρετῶν, οἵτινες, ἢν ἀπόροις νάπαις ἐντυγχάνωσι, παριόντες ἐπὶ τὰ εὔπορα, δηλώσουσι τοῖς ἱππεῦσιν, ᾗ χρὴ τὴν ἐλασίαν ποι-

ἵππαρχον recte monuit Weiske cum Zeunio. Ita vero πεζοποροῦντα erit activum *pedibus incedere jubentem.*

ἐννοῶν] Stephanus in προνοῶν mutavit. Sequens αὐτὸς est in Aldina. αὐτὸ Juntinæ, Castal. Hal. Bryl. ex αὐτῷ ortum esse censebat Zeune. Ad collectivum ἕκαστος refertur sequens ὑπερπονοῦντας pluralis.

2. καταβεβηκόσι] Ante Stephanum erat καταβεβληκόσι, ut deinceps in Aldina πλησιάσειν. Paulo antea ἐντεύξει Vrat. a prima manu.

3. ἢν μέν γε] Mihi γε aut μὲν alienum videtur ab h. l. Videtur Xenophon scripsisse καὶ μὴν ἤν γε, aut καὶ ἢν μὲν διά. Deinceps ἐπιτυγχάνοις habet liber Lips. postea πλατωτέον Vratisl.

ἀφικνῆσθε] Hoc in locum antiqui ἀφικνῆσθαι a Stephano repositum firmat liber Aug. Singularem numerum antecedentia flagitare videntur, sed vide sect. 5.

πάσας τὰς φυλάς] Deesse verbum aliquod, Xenophonti in simili re usurpatum, veluti καταστατέον, uti visum est Leunclavio, vel ἀκτέον, ut Zeunio, in aperto est. Weiske ex superioribus πλατυντέον repetendum esse censuit: quod verbum etiamsi commode adhiberetur, quod tamen non puto, aliena tamen esset a concinnitate orationis, quam in primis sequitur Xenophon, verbi proprii ad tertium membrum referendi omissio.

τοῦτο ἥδιον] Cod. Lips. τοῦθ᾽ ἥδιον διαπεράναντας ὁδοὺς. Vitiosum διαπεράναντας est etiam in Edd. et Codice Paris. A. Vrat. Correxit cum Leunclavio Wels. et Zeune.

4. δυσχωρίας] Edd. veterum et Vrat. δυσχωρίων cum Stephano in δυσχωριῶν mutavit Zeune; quod Weiske dedit, est in Aug. δυσχωρίαν Lips. habet cum Paris. ἐλαύνηται Vrat.

ἐντυγχάνωσι] Ita pro ἐντυγχάνουσι recte Cod. Lips. uti corrigi jusserat Brodæus et Stephanus. Paulo antea ἕκαστος Vratisl.

εἶσθαι, ὡς μὴ ὅλαι αἱ τάξεις πλανῶνται. 5. Ἢν δὲ ἐπὶ κινδύνων ἐλαύνητέ που, φρονίμου ἱππάρχου, τὸ τῶν προόδων ἄλλους προόδους διερευνωμένους προηγεῖσθαι τὰ τῶν πολεμίων. Χρήσιμον δὲ καὶ πρὸς τὸ ἐπιθέσθαι καὶ πρὸς τὸ φυλάξασθαι καὶ τὸ ἀναμένειν ἐπὶ ταῖς διαβάσεσιν, ὡς μὴ κατακόπτωσι τοὺς ἵππους οἱ τελευταῖοι τὸν ἡγεμόνα διώκοντες. Ἴσασι μὲν οὖν ταῦτα σχεδὸν πάντες, καρτερεῖν δ' ἐπιμελόμενοι οὐ πολλοὶ ἐθέλουσι.

Varia præcepta belli caute gerendi, apta maxime copiis exiguis.

6. Προσήκει δὲ ἱππάρχῳ ἔτι ἐν εἰρήνῃ ἐπιμελεῖσθαι, ὅπως ἐμπείρως ἕξει τῆς τε πολεμίας καὶ τῆς φιλίας χώρας· ἢν δ' ἄρα αὐτὸς ἀπείρως ἔχῃ, τῶν ἄλλων γε δὴ τοὺς ἐπιστημονεστάτους ἑκάστων τόπων παραλαμβάνειν. Πάνυ γὰρ διαφέρει ὁ ἡγούμενος, εἰδὼς τὰς ὁδούς, τοῦ μὴ εἰδότος· καὶ ἐπιβουλεύων δὲ πολεμίοις, ὁ εἰδὼς τοὺς τόπους τοῦ μὴ εἰδότος πολὺ διαφέρει. 7. Καὶ κατασκόπων δέ, πρὶν πόλεμον εἶναι, δεῖ μεμεληκέναι, ὅπως ἔσονται καὶ ἐκ πόλεων ἀμφοτέροις φιλίων, καὶ ἐξ ἐμπόρων· πᾶσαι γὰρ

5. ἐπὶ κινδύνων] Junt. Aldina et Vratisl. junctim ἐπικινδύνων. Stephanus ἐπικινδύνως edidit. Mihi nec illud satisfacit, quod ex Castal. dedit Zeune.

ἐλαύνητέ] Cum Stephano et Paris. A. sentio; Zeune antiquum ἐλαύνηται revocavit, eumque secutus Weiske. ἐλαύνητε τοῦ Vratisl. Supra sect. 3. similiter est ἀφικνῆσθε.

τὰ τῶν πολεμίων] Verba τὰ τῶν Leunclavius addi voluit omissa in Edd. pr. et Paris. A. In Lips. τὰ πολεμίων est. Weiske malebat προόδων ἄλλους κελεύειν προηγεῖσθαι διερευνωμένους. Vitium quidem vulgatæ apertum est, etiam post Leunclavii emendationem τὰ τῶν πολ. Malim διερευνήσοντας τὰ τῶν πολ. κελεύειν προηγεῖσθαι.

Χρήσιμον δὲ] Particulam δὲ huc cum Leuncl. transtulit Zeune vulgo post ἀναμένειν positam, etiam in libro Lips. Paris. et Vrat.

καὶ πρὸς τὸ] Cod. Lips. καὶ ἐπὶ τό. Sequens καὶ post φυλάξασθαι otiosum videtur, et omittit Vratis. qui φυλάξεσθαι dat.

6. ἐπιμεμελῆσθαι] Edd. pr. ut Cod. Lips. ἐπιμελῆσθαι, margo Steph. ἐπιμελεῖσθαι, quod præfero, et est in Vratisl.

ἕξει] Ante Stephanum erat ἔχει. Vratisl. ἕξῃ dat. Sequens γε δὴ male Leuncl. in γε δεῖ mutari voluit.

7. μεμεληκέναι] Vulgato μεμελετηκέναι ex Stephani conjectura substituit Weiske.

πόλεων] Ita sola Aldina: ceteræ Edd. pr. πολέμων habent.

πᾶσαι γὰρ] Ita Aldina: ceteræ Edd. pr. cum Vratisl. καὶ γὰρ habent. Deinde χρήσιμον cum Leunclavii Wecheliana Codex Paris. A. Aug. et Vratisl. habent.

αἱ πόλεις τοὺς εἰσάγοντάς τι ἀεὶ ὡς εὐμενεῖς δέχονται· καὶ ψευδαυτόμολοι δ' ἔστιν ὅτε χρήσιμοι. 8. Οὐ μέντοι τοῖς γε κατασκόποις δεῖ ποτε πιστεύοντα φυλακῆς ἀμελεῖν, ἀλλ' ἀεὶ οὕτως κατεσκευάσθαι χρὴ, ὥσπερ ἢν ἥξοντες εἰσηγγελμένοι ὦσιν οἱ πολέμιοι. Καὶ γὰρ, ἢν πάνυ πιστοὶ ὦσιν οἱ κατάσκοποι, χαλεπὸν ἐν καιρῷ ἀπαγγέλλειν· πολλὰ γὰρ ἐν πολέμῳ τὰ ἐμπόδια ἐμπίπτει. 9. Τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιντο μᾶλλον, ἢ εἰ ἀπὸ κήρυκος ἢ ἀπὸ προγραφῆς. Ἀγαθὸν οὖν καὶ τὸ πρὸς τῷ διὰ παραγγέλσεως ἐξάγειν, τὸ δεκαδάρχους καθιστάναι, καὶ τοῖς δὲ δεκαδάρχοις πεμπαδάρχους, ἵνα ὡς ἐλαχίστοις ἕκαστος παραγγέλλῃ, καὶ τὸ μέτωπον δὲ ὅπως μηκύνοιεν ἂν τῆς τάξεως ἀταράκτως οἱ πεμπάδαρχοι παράγοντες, ὁπότε τούτου καιρὸς εἴη. 10. Ὅταν γε μὴν προφυλάττειν δέῃ, ἐγὼ μὲν ἀεὶ ἐπαινῶ τὰς κρυπτὰς σκοπιάς τε καὶ φυλακάς· οὕτω γὰρ ἅμα μὲν τῶν φίλων φυλακαὶ γίγνονται, ἅμα δὲ τοῖς πολεμίοις ἐνέδραι κατασκευάζονται. 11. Καὶ αὐτοὶ μὲν δυσεπιβουλευτότεροί εἰσιν ἀφανεῖς ὄντες,

8. πιστεύοντα] Cod. Lipſ. πιστεύοντας habet. Deinde κατασκευᾶσθαι erat ante Stephanum, ut in Pariſ.

ἥξοντες] Antiquum ἥξαντες revocavit Zeune, qui aoriſtum futuri locum obtinere poſſe cenſebat; eum ſequitur Weiſke. Equidem Stephanum ſequor. ἥξαντας Aldina habet. ἧξα nullibi extare puto.

χαλεπὸν ἐν] Inepte Zeune χαλεπόν γ' ἐν ſcribi voluit. Hic particulæ γε locus non erat. Deinceps vulgatum συμπίπτει e Vratiſl. correxi.

9. ἢ εἰ ἀπὸ] Primus Stephanus εἰ inſeruit, ex Codice Pariſ. ut credo; eſt etiam in Aug. qui idem εἰ male inferciunt etiam poſt alterum ἢ cum libro Lipſienſi. Deinde γραφῆς eſt in Aldina. Sic eſt ἀπὸ παραγγέλσεως πορευόμενοι Anab. iv. 1. 4.

καὶ τὸ πρὸς τῷ] Edd. vet. ſcripturam, καὶ τὸ πρὸς τὸ, mutavit Zeune cum Leuncl. ita, ut prius τὸ deleret. Quod dedit Weiſke ex libro Aug. eſt etiam in Lipſ. et Pariſ. Sequens τὸ ante δεκαδάρχους abundat perſpicuitatis cauſa. δεκάρχοις habet Vratiſl.

καὶ τοῖς δὲ δεκ.] Caſtal. καὶ τοῖς τε δ. Leuncl. καὶ σὺν τοῖς δεκ. ſcribi voluit, quod unice verum puto, niſi ἐπὶ malis. Deinceps πεμπαδάρχας habet Cod. Lipſ. et Vratiſl. πενταδάρχας Pariſ. πεμπτάρχους in hoc et ſequenti loco ſcribi voluit Leuncl. quoniam πεμπὰς ſit Æolum, et in Hellen. vii. 2. 6. πεμπτὰς ſcriptum legatur. Aldina paulo poſt πεντάδαρχοι, Juntina ubique conſtanter πεμπάδαρχοι exhibet. Poſterior ſcriptura eſt in Cyrop. ii. 1. 9. 15. ii. 3. 9. 10. 11.

παράγοντες] Eodem verbo in eadem re utitur in Anabaſi iv. 6. 6. et Cyrop. ii. 3. 9.

10. προφυλάττειν] Codex Lipſ. Pariſ. et Vratiſl. προσφ. habent. Sequens ἐνέδραι omiſit Lipſ.

τοῖς δὲ πολεμίοις φοβερώτεροι. Τὸ γὰρ εἰδέναι μὲν, ὅτι εἰσί που φυλακαὶ, ὅπου δ' εἰσὶ καὶ ὁπόσαι, μὴ εἰδέναι, τοῦτο θαῤῥεῖν μὲν κωλύει τοὺς πολεμίους, ὑποπτεύειν δὲ ἀναγκάζει πάντα τὰ χωρία· αἱ δὲ φανεραὶ φυλακαὶ δῆλα ἔχουσι καὶ τὰ δεινὰ καὶ τὰ εὐθαρσῆ. 12. Ἔτι δὲ τῷ μὲν κρυπτὰς ἔχοντι φυλακὰς ἐξέσται μὲν, φανεροῖς ὀλίγοις ἔμπροσθεν τῶν κρυπτῶν φυλάττοντα, πειρᾶσθαι τοὺς πολεμίους εἰς ἐνέδρας ὑπάγειν. Ἀγρευτικὸν δὲ καὶ, ὄπισθεν τῶν κρυπτῶν ἄλλοις φανεροῖς ἔστιν ὅτε φυλάττειν· καὶ τοῦτο γὰρ ἐξαπατητικὸν τῶν πολεμίων ὁμοίως τῷ πρόσθεν εἰρημένῳ. 13. Ἀλλὰ μὴν φρονίμου γε ἄρχοντος καὶ τὸ μή ποτε κινδυνεύειν ἑκόντα, πλὴν ὅπου ἂν πρόδηλον ᾖ, ὅτι πλεῖον ἕξει τῶν πολεμίων. Τὸ δὲ ὑπηρετεῖν τὰ ἥδιστα τοῖς πολεμίοις, προδοσία τῶν ξυμμάχων δικαίως ἂν μᾶλλον ἢ ἀνδρία κρίνοιτο. 14. Σῶφρον δὲ καὶ τὸ ἐκεῖσε ὁρμᾶν, ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ, κἂν πρόσω ὄντα τυγχάνῃ. Τὸ γὰρ σφόδρα πονῆσαι ἀκινδυνότερον ἢ πρὸς τοὺς κρείττους ἀγωνίζεσθαι. 15. Ἦν δέ πῃ εἰς μέσον

11. πάντα τὰ χωρία] Articulum omittit Vratisl.

ἔχουσι καὶ τὰ δεινὰ] Camerarius interpretatur: *apertas habent tam terroris quam confidentiæ causas.* Weiske τὰ εὐθαρσῆ interpretatur: *quæ bono animo esse sinant:* comparato loco Hellenic. vi. 5. 32.

12. ἔμπροσθεν] Ante Wechelianam erat ἔμπροσθε. Deinde ἀγρευτικῶν habet Aldina.

φανεροῖς] Hoc cum Leuncl. vulgato φανερῶς substitui, quod specie commutatæ orationis defendere conatur Zeune. Post ἐξαπατητικὸν male μὲν inserit Cod. Lips.

13. ξυμμάχων] equites simul pugnantes, commilitones interpretatur Weiske. Deinde ἀνδρεία est in Steph. posteriori et ceteris Edd. quæ inde fluxerunt, ut in Vratisl. qui συμμάχων dat.

14. ἀκινδυνότερον] Stephanus in ἀκινδυνώτερον male mutavit. Deinde περὶ κρείττους habet Codex Lips.

15. Ἢν δέ πῃ] Ex Aug. et Paris. libro pro ποι dedit Weiske. Sequentia ita interpretatur Camerarius: *si tamen aliquando hostes in medios tuorum muros irruperint.* Leunclavius: *quod si medias inter munitiones et castella tuorum penetraverint hostes.* Ribitti: *sin hostes aliquo usque intra munitiones pacatorum et amicorum ingressi fuerint.* Recte Leunclavius, si quid ego video, male contra Camerarius et Ribitti, quos sequitur Weiske, εἰς μέσον φιλίων τειχέων εἰσίωσι interpretatus *in medias sive ipsas munitiones intraverint.* Quidni enim Xenophon εἴσω φιλίων τειχέων dixerit, si significare hoc voluisset? Sequentia etiam pugnant cum hac interpretatione. Præterea εἰς τὸ μέσον malim, ut est in Cyrop. iii. 3. 7. ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιαρχῶν καὶ λοχαγῶν καὶ πάντων, οὓς ἐτίμα, i. e. dixit stans medius inter. In Anabasi ii. 4. 17. ὡς ἐν μέσῳ ἀπο-

φιλίων τειχέων εἰσίωσιν οἱ πολέμιοι, κἂν πολὺ κρείττους ὄντες, καλὸν μὲν ἐντεῦθεν ἐπιχειρεῖν, ὁποτέρωθι ἂν λελήθῃς παρών· καλὸν δὲ καὶ ἅμα ἀμφοτέρωθεν. Ὅταν γὰρ οἱ ἕτεροι ἀποχωρῶσιν, οἱ ἐκ τοῦ ἐπὶ θάτερα ἐλαύνοντες ταράττοιεν μὲν ἂν τοὺς πολεμίους, σώζοιεν δ' ἂν τοὺς φίλους. 16. Καὶ τὸ μὲν διὰ κατασκόπων πειρᾶσθαι εἰδέναι τὰ τῶν πολεμίων, πάλαι εἴρηται ὡς ἀγαθόν ἐστιν· ἐγὼ δὲ πάντων ἄριστον νομίζω εἶναι, τὸ αὐτὸν πειρᾶσθαι, ἤν ᾗ ποθὲν ἐξ ἀσφαλοῦς, θεώμενον τοὺς πολεμίους ἀθρεῖν, ἤν τι ἁμαρτάνωσι. 17. Καὶ τὸ μὲν κλαπῆναι δυνατὸν πέμπειν χρὴ τοὺς ἐπιτηδείους κλέψοντας, τὸ δὲ ἁρπασθῆναι ἐγχωροῦν, ἐφιέναι τοὺς ἁρπάσοντας. Ἢν δέ, πορευομένων ποι τῶν πολεμίων, ἀπαρτᾶταί τι ἀσθενέστερον τῆς αὐτοῦ δυνάμεως, ἢ θαῤῥοῦν ἀποσκεδαννύηται, οὐδὲ ταῦτα χρὴ λανθάνειν· ἀεὶ μέντοι τῷ ἰσχυροτέρῳ τὸ ἀσθενέστερον θηρᾶν. 18. Δυνατὸν δὲ προσέχοντι τὸν νοῦν ταῦτα καταμανθάνειν· ἐπεὶ καὶ τὰ βραχυγνωμονέστερα ἀνθρώπου θηρία οἵ τε ἴκτινοι δύνανται, ὃ ἂν ἀφύλακτον ᾖ, ἁφαρπάσαντες εἰς τὸ ἀσφαλὲς ἀποχωρεῖν, πρὶν ληφθῆναι· καὶ οἱ λύκοι δὲ τά τε ἐρημούμενα φυλακῆς ἀγρεύουσι, καὶ

ληφθῆτε τοῦ ποταμοῦ καὶ τῆς διώρυχος, licet quidem interpretari ἐν μέσῳ intra fluvium et canalem; ſed εἰς μέσον τειχέων εἰσιέναι ideo nemo græce doctus dixerit pro intrare media caſtella. Vratiſl. liber ὦσι dat.

Ὅταν γὰρ] Aldina ὅταν γε dedit cum Vratiſl. Sequens τοὺς φίλους ex libro Lipſ. Pariſ. et Vratiſl. dedi pro vulgato φιλίους.

16. αὐτὸν] Ad ipſum hipparchum refer cum Zeunio. Deinceps θεώμενος —ἀρθρεῖν Vratiſl.

17. τὸ δὲ ἁρπασθῆναι] Cod. Lipſ. τὸ δ' ἁρ. cum Edd. pr. quod mutavit Leunclavius.

ἀπαρτᾶταί] Ald. ἀπερτᾶται. Pariſ. τι omiſit. Deinde Edd. pr. ἀποσκεδάννηται, Caſtal. ἀποσκεδάννυται. Senſum loci Ribitti hunc voluit eſſe: *quod ſi aliquid propter imbecillitatem virium relictum ſit.* Camerarius αὐτοῦ vertit *illic.* Uterque male! Weiſke locum vitioſum eſſe ſuſpicatur, ſed αὐτοῦ ad hipparchum referendum eſſe recte monet. ἀπαρτᾶται pars exercitus, quæ a reliquo agmine diviſa aliquo ſpatio incedit. Deinceps ἀφιέναι Vratiſl.

μέντοι τῷ] Vulgo deeſt articulus τῷ, in Caſtal. eſt μὲν τῷ. Sequens θηρᾶν debetur Stephano pro vulgato θηρῶν, quod eſt etiam in Codice Pariſ. Lipſienſi et Vratiſl.

18. ἀγρεύουσι] Pro vulgato ἀγρέουσι debetur Brodæo. Paulo antea liber Aug. cum Vratiſl. et Pariſ. articulum τὰ ante βραχυγνωμονέστερα inſeruit. Deinde ἢν pro ᾖ habet Vratiſl.

τὰ ἐν τοῖς δυσοράτοις κλέπτουσι. 19. Κἂν μεταθέων γέ τις ἐπιγίγνηται κύων, ἢν μὲν ἥττων ᾖ, τούτῳ ἐπιτίθεται· ἢν δὲ κρείττων, ἀποσφάξας ὅ τι ἂν ἔχῃ, ἀποχωρεῖ. Ὅταν δέ γε φυλακῆς καταφρονήσωσι λύκοι, τάξαντες ἑαυτῶν τοὺς μὲν ἀπελαύνειν τὴν φυλακὴν, τοὺς δὲ ἁρπάζειν, οὕτω τὰ ἐπιτήδεια πορίζονται. 20. Θηρίων γε μὴν δυναμένων τὰ τοιαῦτα φρονίμως λῄζεσθαι, πῶς οὐκ ἄνθρωπόν γε ὄντα εἰκὸς σοφώτερον τούτων φαίνεσθαι, ἃ καὶ αὐτὰ τέχνῃ ὑπ᾽ ἀνθρώπου ἁλίσκεται;

CAPUT V.

Variæ hostium decipiendorum artes.

1. Κἀκεῖνό γε μὴν εἰδέναι ἱππικοῦ ἀνδρὸς, ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι, καὶ ἐξ ὁπόσου βραδεῖς ἂν ἵπποι ταχεῖς ἀποφύγοιεν. Ἱππαρχικὸν δὲ καὶ χωρία γιγνώσκειν, ἔνθα πεζοὶ κρείττους ἱππέων, καὶ ἔνθα πεζῶν κρείττους ἱππεῖς. 2. Χρὴ δὲ μηχανητικὸν εἶναι, καὶ τοῦ πολλοὺς μὲν φαίνεσθαι τοὺς ὀλίγους ἱππέας, πάλιν δ᾽ ὀλίγους τοὺς πολλούς· καὶ τοῦ δοκεῖν παρόντα μὲν ἀπεῖναι, ἀπόντα δὲ παρεῖναι· καὶ τοῦ μὴ τὰ τῶν πολεμίων μόνον κλέπτειν ἐπίστασθαι, ἀλλὰ καὶ τοὺς ἑαυτοῦ ἱππέας ἅμα κλέπτοντα ἐξ ἀπροσδοκήτου τοῖς πολεμίοις ἐπιτίθεσθαι. 3. Ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι, ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις, ὡς μὴ ἐπιθῶνται· ὅταν δ᾽ ἐρρωμένα, θάρσος αὐτοῖς ἐμποιεῖν,

19. ἀποχωρεῖ] Codex Lipf. ἀποχωρῇ habet. Mira eft variatio numeri in h. l. Pluralis antecedit et fequitur fingularem medium. Facilis quidem erat mutatio verbi ἐπιτίθεται in ἐπιτίθενται, violentior paulo alterius ἀποχωρεῖ in ἀποχωροῦσιν. Vratifl. ὅ, τι omittit.

καταφρονήσωσι] ut negligentiorem vel infirmiorem cuftodiam hominum contemferint.

20. τὰ τοιαῦτα — τέχνῃ] Vratifl. omiffo τὰ habet ἴχνη.

Cap. V. 1. βραδεῖς] hoftium equos. Sed Weifke malebat ἂν ἵππους πεζοὶ ταχεῖς, nifi fequerentur illa extrema fect. 4. fcripta. Deinceps καὶ omittit Vratifl. ἕλῃ—ἀποφεύγοιεν habet Parif.

3. ἐπιθῶνται] Ita cum Stephano liber Aug. et Lipf. ἐπιτίθωνται Aldinæ et Vratifl. in ἐπιτιθῶνται mutavit Zeune. Juntina et cœteræ Edd.

ὡς ἐγχειρῶσιν. Οὕτω γὰρ αὐτὸς μὲν ἂν ἥκιστα κακῶς πάσχοις, τοὺς δὲ πολεμίους μάλιστ' ἂν ἁμαρτάνοντας λαμβάνοις. 4. Ὅπως δὲ μὴ προστάττειν δοκῶ ἀδύνατα, καὶ γράψω ὡς ἂν γίγνοιτο τὰ δοκοῦντα αὐτῶν χαλεπώτατα εἶναι. Τὸ μὲν τοίνυν μὴ σφάλλεσθαι ἐγχειροῦντα διώκειν ἢ ἀποχωρεῖν, ἐμπειρία ποιεῖ ἵππων δυνάμεως. Πῶς δ' ἂν ἐμπείρως ἔχοι; Εἰ προσέχοι τὸν νοῦν ἐν ταῖς μετὰ φιλίας ἀνθιππασίαις, οἷα ἀποβαίνουσιν ἐκ τῶν διώξεών τε καὶ φυγῶν. 5. Ὅταν μέντοι βούλῃ τοὺς ἱππέας πολλοὺς φαίνεσθαι, ἓν μὲν πρῶτον ὑπαρχέτω, ἤνπερ ἐγχωρῇ, μὴ ἐγγὺς τῶν πολεμίων ἐγχειρεῖν ἐξαπατᾷν· καὶ γὰρ ἀσφαλέστερον τὸ πρόσω καὶ ἀπατητικώτερον. Ἔπειτα δὲ χρὴ εἰδέναι, ὅτι ἀθρόοι μὲν ἵπποι πολλοὶ φαίνονται διὰ τὸ μέγεθος τοῦ ζώου· διασπειρόμενοι δ' εὐαρίθμητοι γίνονται. 6. Ἔτι δ' ἂν πλεῖόν σοι τὸ ἱππικὸν τοῦ ὄντος φαίνοιτο, εἰ τοὺς ἱπποκόμους εἰς τοὺς ἱππέας ἐνισταίης, μάλιστα μὲν δόρατα, εἰ δὲ μή, ὅμοια δόρασιν ἔχοντας, ἤν τε ἑστηκὸς ἐπιδεικνύῃς τὸ ἱππικόν, ἤν τε παράγῃς· ἀνάγκη γάρ, τὸν ὄγκον τῆς τάξεως οὕτω μείζω τε καὶ πυκνότερον φαίνεσθαι. 7. Ἦν δ' αὖ τοὺς πολλοὺς ὀλίγους δοκεῖν εἶναι, ἢν μέν σοι χωρία ὑπάρχῃ, οἷα συγκρύπτειν,

pr. ἐπιτίθονται habent. Deinde πάσχῃς eſt in Edd. pr.

4. καὶ γράψω] Cum Leunclavio γράψω καὶ ſcripſit Welſ.

ἵππων δυνάμεως] Edd. pr. ἵππον habent cum libro Lipſ. et Pariſ. ἵππου Caſtal.

οἷα] Ita cum Aldina Zeune; reliquæ Edd. pr. οἷαι cum libro Aug. Pariſ. et Vratiſl. Leuncl. οἷοι malebat.

5. βούλῃ) Male liber Lipſ. βούλει habet. Deinceps ἓν δίδαγμα vel ὑπόμνημα ſcribendum ſuſpicabatur Stephanus, ſaltem intelligendum vocabulum aliquod; quod ne ſit neceſſe, Zeune infinitivum ἐγχειρεῖν pro nomine poſitum cenſebat. Stephanus non recordabatur, ὑπάρχειν dici, ubi res aliqua ὑποθετικῶς adeſſe debere dicitur quaſi fundamentum aliquod et principium vel cauſa rei efficiendæ.

μὲν ἵπποι] Articulum οἱ inſerit Vratiſl. deinde γίγνονται habet.

6. πλεῖόν—τοῦ ὄντος] Ageſilai ſtrategema hujus generis narrat Polyænus ii. 1. 17. et Antipatri iv. 4. 3. ſimile commemorato hic.

ἑστηκὸς] Caſtal. Bryl. ἑστηκὼς habent.

7. αὖ τοὺς] Ita correxit Stephanus ſcripturam Edd. pr. αὐτοὺς. Ad ὀλίγους repete βούλῃ, quod excidiſſe putabat Caſtalio.

δῆλον ὅτι, τὰς μὲν ἐν τῷ φανερῷ ἔχων, τοὺς δ' εἰς τὸ ἄδηλον ἀποκρύπτων, κλέπτοις ἂν τὰς ἱππέας· ἢν δὲ πᾶν καταφανὲς ᾖ τὸ χωρίον, δεκάδας χρὴ στοιχούσας ποιήσαντα, διαλειπούσας παράγειν· καὶ τοὺς μὲν πρὸ τῶν πολεμίων ἱππέας ἑκάστης δεκάδος ὀρθὰ τὰ δόρατα ἔχειν, τοὺς δ' ἄλλους ταπεινὰ καὶ μὴ ὑπερφανῆ. 8. Φοβεῖν γε μὴν τοὺς πολεμίους καὶ ψευδενέδρας οἷόν τε καὶ ψευδοβοηθείας καὶ ψευδαγγελίας ποιοῦντα. Θαρσοῦσι δὲ μάλιστα πολέμιοι, ὅταν τοῖς ἐναντίοις πράγματα καὶ ἀσχολίας πυνθάνωνται. 9. Τούτων δὲ γεγραμμένων,

τοὺς δ' εἰς] In Caſtal. Bryl. δ' deeſt.

11. Τὸν δὲ κυνηγέτην ἔχοντα ἐξιέναι ἠμελημένην ελαφρὰν ἐσθῆτα ἐπὶ τὸ κυνηγέσιον, καὶ ὑπόδεσιν, ἐν δὲ τῇ χειρὶ ῥόπαλον· τὸν δὲ ἀρκυωρὸν, ἕπεσθαι· πρὸς δὲ τὸ κυνηγέσιον σιγῇ προσιέναι, ἵνα μὴ ὁ λαγὼς, ἐάν που ᾖ πλησίον, ὑποκινῇ ἀκούων τῆς φωνῆς. 12. Δήσαντα δ' ἐκ τῆς ὕλης τὰς κύνας, ἑκάστην χωρὶς, ὅπως ἂν εὔλυτοι ὦσι, συνιστάναι τὰς ἄρκυς καὶ τὰ δίκτυα, ὡς εἴρηται. Μετὰ δὲ τοῦτο τὸν μὲν ἀρκυωρὸν εἶναι ἐν φυλακῇ· αὐτὸν δὲ τὰς κύνας λαβόντα ἰέναι πρὸς τὴν ὑπαγωγὴν τοῦ κυνηγεσίου.

—ἔπεστι. Vratisl. liber hic σανδονίων habet.

10. ἢ ἄρκυς] Edd. pr. ἡ ἄρκυς. Correxit Stephanus. Leonicenus h. l. vertit: *abiensque cautius observet. Quod si limes declivius fuerit, sagena tollatur.* De στοίχῳ dictum ad vi. 8. Paulo antea δὲ omittit Vratisl. cum Paris. B.

ἢ οὗ κατεῖδε] Vulgatum οὐ κατ. Leonicenus interpretatur: *non videre* vel *non vidisse.* Stephanus ὅ conjecit, ὅτι Leunclavius, quod dedit Zeune. Weiske vulgatum defendens monet, ὁρᾷν differre a καθορᾷν, ut ἰδεῖν a κατιδεῖν; qui ἑώρακε, vidit, eum non continuo κατιδεῖν, clare oculis percepisse. Ceterum compara sect. 24. Paulo antea η τι ὅτι dat Paris. B.

11. καὶ ὑπόδεσιν] Cum nihil addatur, quo calcei natura definiatur, repetendum censeo ἠμελημένην. Pollux v. s. 18. accuratius posuit ὑποδήματα κοῖλα, ἐς μέσην τὴν κνήμην ἀνήκοντα, δεσμῷ ἀκριβεῖ περιεσταλμένα. Deinceps ἐν δὲ χειρὶ—σιγῇ προϊέναι Vratisl. Paris. B. Vulgo erat ἔν τε.

12. ἐκ τῆς ὕλης] Male Britannus vertit: *being brought to the wood so tied.* Deinde Junt. Ald. male ἱέναι dant pro ἰέναι. Antea δήσαντες habet Paris. B.

τὴν ὑπαγωγὴν] Weiske interpretatur *ad lepores callide inducendos vel ad retia propellendos*, comparans x. 4. ubi est: πρῶτον μὲν οὖν χρὴ ἐλθόντα, οὗ ἂν οἴωνται εἶναι, ὑπάγειν τὸ κυνηγέσιον. Leonicenus: *ad saltus indaginem subeat.*

13. Καὶ εὐξάμενον τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι τῇ Ἀγροτέρᾳ μεταδοῦναι τῆς θήρας, λῦσαι μίαν κύνα, ἥτις ἂν ᾖ σοφωτάτη ἰχνεύειν· ἐὰν μὲν ᾖ χειμὼν, ἅμ᾽ ἡλίῳ ἀνέχοντι· ἐὰν δὲ θέρος, πρὸ ἡμέρας· τὰς δὲ ἄλλας ὥρας, μεταξὺ τούτων. 14. Ἐπειδὰν δὲ ἡ κύων λάβῃ τὸ ἴχνος ὀρθὸν ἐκ τῶν ἐπηλλαγμένων, παραλῦσαι καὶ ἑτέραν· περαινομένου δὲ τοῦ ἴχνους, διαλιπόντα μὴ πολὺ καὶ τὰς ἄλλας ἀφιέναι κατὰ μίαν, καὶ ἕπεσθαι μὴ ἐγκείμενον, ὀνομαστὶ ἑκάστην προσαγορεύοντα, μὴ πολλὰ, ἵνα μὴ παροξύνωνται πρὸ τοῦ καιροῦ. 15. Αἱ δὲ ὑπὸ χαρᾶς καὶ μένους προΐασιν ἐξίλλουσαι τὰ ἴχνη, ὡς πέφυκε, διπλᾶ, τριπλᾶ, προφορούμεναι παρὰ τὰ αὐτὰ, διὰ τῶν αὐτῶν, ἐπηλλαγμένα, περιφερῆ, ὀρθὰ, καμπύλα, πυκνὰ, μανὰ,

13. εὐξάμενον] Edd. pr. εὐξάμενοι, ut Parif. A. B. præter Caftal. Bryl. 3. Deinceps τούτων dedi e Parif. B. pro τούτου.

14. Ἐπειδὰν δὲ] Vratifl. et Parif. A. δὲ omittit.

ἐπηλλαγμένων] Quod Brodæus, Conr. Gefner et Leunclavius conjecerunt, ex margine Codicis Parif. A. dedit Weifke pro vulgato ἀπηλλ. Idem eft fect. 15. Cap. v. 29. viii. 3. Paulo antea ὀρθὸν fcripfi pro ὄρθιον. Vide ad fect. 15.

περαινομένου δὲ] Sola Aldina δὲ fervavit, quod Leonicenus etiam vertendo reddidit: *et dum veftigium tranfigitur*. Rectius *Blane: as thefe perfift in the trail.*

15. Αἱ δὲ] Vulgatum αἱ δ᾽ revocatum a Weifkio correxit Zeune ob fequentem fpiritum afperum, ut in reliquis locis fecit, præeunte Leunclavio.

ἐξειλοῦσαι] Edd. vett. cum Parif. A. ἐξίλλουσαι. Vrat. ἐξέλουσαι. Parif. B. ἐξιλουσαι. Margo Parif. A. ἐξιλαουσαι et ἐξιλουσαι annotavit. Brodæi et Budæi fcripturam dedit Stephanus: margo Steph. et Leuncl. annotavit ἐξιλαοῦσαι et ἐξιλάουσαι cum ἐξίλλουσαι. Codex comparatus ab Hemfterhufio ad Timæi Gloffarium p. 72. habebat ἐξίλλουσαι, alter ἐξιλάνυσαι pro ἐξελιννῦσαι, ut videtur viro egregio. Arrianus xxv. 2. κύνα δὲ ἄλλην γενναίαν ἐφιέναι ὕστερον, ὡς μὴ ἐπὶ πολὺ κακοπαθῆσαι τὴν σκύλακα, μηδὲ ἀπαγορεῦσαι ὑπὸ καμάτου· ἡ δὲ θαμινὰ καὶ εὐμαρῶς ἐξελίσσουσα τὸν λαγὼ παραδώσει τῇ σκύλακι. De fcriptura ἐξίλλουσαι non erat dubitandum, de qua multa viri docti ad Timæum. De ipfo lepore Arrianus xxv. 8. ὁ δ᾽ ἐξελίξας εὐμαρῶς παραμείψει. et cap. xviii. 3. ἐξελίξας τὸν δρόμον.

προφορούμεναι] Leonicenus *hac illac progrediuntur*. Leunclavius conjecit περιφορούμεναι. Ariftophanes Avium verfu 4. ἄλλως τὴν ὁδὸν προφορεῖσθαι dixit, ubi Scholia: δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία. προφορεῖσθαι γὰρ λέγεται τὸ παραφέρειν δεῦρο κἀκεῖσε τὸν στήμονα τοὺς διαζομένους. vel, ut rectius habent ipfa Scholia a Suida exfcripta, τοῖς διαζομένοις. Hefychius: προφορεῖσθαι, τὸ ταῖς διαζομέναις τὸν στήμονα παραδιδόναι. Ita et Photii Lexicon. Pollux vii. 32. προφορεῖσθαι Atticis dici ait pro διάζεσθαι.

παρὰ τὰ αὐτὰ] Edd. pr. et Vrat. διὰ τὰ αὐτά. Brodæi conjecturam dedit Stephanus. εἰς τὰ αὐτὰ conjecerat Conr. Gefner. Margo Parif. A. παρα ταυτα habet. Cf. cap. v. 20. Arriani xx. 2.

ὀρθὰ] Ita liber Taurinenfis Leunclavii: vulgo eft ὄρθια: rectum iii. 7. Ex eodem Codice vulgatum ordinem

γνώριμα, ἄγνωστα, ἑαυτὰς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς διασείουσαι, καὶ ἐπικλίνουσαι τὰ ὦτα, καὶ ἀστράπτουσαι τοῖς ὄμμασιν. 16. Ἐπειδὰν δὲ περὶ τὸν λαγὼ ὦσι, δῆλον ποιήσουσι τῷ κυνηγέτῃ, σὺν ταῖς οὐραῖς τὰ σώματα ὅλα συνεπικραδαίνουσαι, πολεμικῶς ἐπιφερόμεναι, φιλονείκως παραθέουσαι, συντρέχουσαι φιλοπόνως, συνιστάμεναι ταχὺ, διϊστάμεναι, πάλιν ἐπιφερόμεναι· τελευτῶσαι δὲ ἀφίξονται πρὸς τὴν εὐνὴν τοῦ λαγῶ, καὶ ἐπιδραμοῦνται ἐπ' αὐτόν. 17. Ὁ δ' ἐξαίφνης ἀναΐξας ἐφ' αὑτὸν ὑλαγμὸν ποιήσει τῶν κυνῶν καὶ κλαγγὴν φεύγων. Ἐμβοώντων δὲ αὐτῷ διωκομένῳ, ἰῶ κύνες, ἰῶ κακὰς, σαφῶς γε ὦ κύνες, καλῶς γε ὦ κύνες. Καὶ κυνοδρομεῖν περιελίξαντα ὃ ἀμπέχεται περὶ τὴν χεῖρα, καὶ τὸ ῥόπαλον ἀναλαβόντα, κατὰ τὸν λαγὼ, καὶ μὴ ὑπαντᾶν· ἄπορον γάρ. 18. Ὁ δὲ ὑποχωρῶν, ταχὺ ἐκλείπων τὴν ὄψιν, πάλιν περιβάλλει, ὅθεν εὑρίσκεται, ἐπὶ τὸ

πυκνὰ, καμπύλα cum Welfio correxit Zeune. Rectum fequitur Leoniceni verfio. Denique vulgatum antea μακρὰ pro μανὰ ex Aldina, Leoniceni verfione, Codice Parif. utroque et libro Taur. correxit Stephanus.

διασείουσαι] Cf. dicta ad caput iii. 4. Sequens λαγῶ ex Ald. Junt. revocavit Zeune; ceteræ λαγὼ dant. Cf. ad iii. 3.

16. συνεπικραδαίνουσαι] Pollux v. f. 61. κἂν ἐγγὺς ᾖ τῆς ἀνευρέσεως, ὑποσημαίνειν, κατανεύειν, ὑποδηλοῦν, διαδηλοῦν—τῇ λαμπρότητι τῶν ὀφθαλμῶν—τῇ στάσει τῶν ὤτων, τῷ σεισμῷ τῆς οὐρᾶς, τῷ τὸ σῶμα πᾶν ἐπικραδαίνειν.

17. ἰῶ κακὰς] Vulgatum κακὸς Leonicenus *fegnis* reddidit. κακῶς in Codice fcriptum reperit Brodæus, ipfe καλῶς præfert. κακὰς, quod Stephanus primus edidit et cum eo Weifke, in margine Cod. Parif. A. annotatum reperit Gail. Hoc æque atque illud vitiofum effe recte monet Weifke. Paulo antea αὐτοὶ pro αὐτῷ malebat Leunclavius. Deinceps σοφῶς conjecit Conr. Gefner, quam conjecturam ejus ineptam pronunciat Weifke. κακῶς, σαφῶς δὲ, omiffis verbis καλῶς γε ὦ κύνες, Vratifl. Poftea ἀπόρως Parif. B.

κυνοδρομεῖν] Pollux v. f. 10. διώκειν, μεταθεῖν, κυνοδρομεῖν, ἐφέπεσθαι κατὰ πόδας, ut fynonyma pofuit. Idem f. 65. κυνοδρομεῖν habet, et f. 78. et 85. commemoravit, et Xenophon in Convivio adhibuit verbum.

περιελίξαντα] Pollux: τὴν χλαμύδα δεῖ τῇ λαιᾷ χειρὶ περιελίττειν, ὁπότε μεταθέοι τὰ θηρία ἢ προσμάχοιτο τοῖς θηρίοις.

κατὰ τὸν λαγὼ] poft leporem, nec obviam ire currenti. Sequens ἄπορον Leonicenus vertit *periculofum enim eft*, probante Weifkio. Stephanus: *quoniam id difficultatem afferat.* Zeune: *ftupidum.* Leunclavius ἄπειρον conjecit. Diverfum eft præceptum Arriani xxv. 8. quod comparavit Zeune.

18. περιβάλλει] circumflectens curfum eo redit, unde primum repertus fugerat. Cf. ad v. 29. dicta. Deinceps ἐπὶ πολὺ Parif. B.

πολύ. Ἀναβοᾶν δὲ κοινὸν μέν· αὐτῷ παῖς, αὐτῷ παῖς, παῖ δή, παῖ δή· ὁ δὲ, ἐάν τε ἑαλωκὼς ᾖ, ἐάν τε μή, δηλούτω. Καὶ ἐὰν μὲν ἑαλωκὼς ᾖ ἐν τῷ πρώτῳ δρόμῳ, ἀνακαλεσάμενος τὰς κύνας ζητεῖν ἄλλον· ἐὰν δὲ μή, κυνοδρομεῖν ὡς τάχιστα, καὶ μὴ ἀφιέναι, ἀλλ' ἐκπερᾶν φιλοπόνως. 19. Καὶ ἐὰν πάλιν ἀπαντῶσι διώκουσαι αὐτὸν, ἀναβοᾶν, εὖγε, εὖγε ὦ κύνες, ἕπεσθε ὦ κύνες· ἐὰν δὲ πολὺ προειληφυῖαι ὦσι, καὶ μὴ οἷός τ' ᾖ κυνοδρομῶν ἐπιγίγνεσθαι αὐταῖς, ἀλλὰ διημαρτηκὼς ᾖ τῶν δρόμων, ἢ καὶ πλησίον που φοιτώσας ἢ ἐπιβοώσας ἢ ἐχομένας τῶν ἰχνῶν μὴ δύνηται ἰδεῖν, πυνθάνεσθαι παραθέοντα ἅμα, ὅτῳ ἂν προσπελάζῃ, ἀναβοῶντα, ἦ κατεῖδες ὠὴ τὰς κύνας; 20. Ἐπειδὰν δὲ πύθηται ἤδη, ἐὰν μὲν ἐν τῷ ἴχνει ὦσι, προσστάντα ἐγκελεύειν, τοὔνομα μεταβάλλοντα ἑκάστης τῆς κυνὸς, ὁποσαχῇ οἷόν τ' ἂν ᾖ τοὺς τόνους τῆς φωνῆς ποιούμενον, ὀξὺ, βαρὺ, μικρὸν, μέγα. Πρὸς δὲ τοῖς ἄλλοις κελεύμασιν, ἐὰν ὦσιν ἐν ὄρει αἱ μεταδρομαὶ, ἐπικελεύειν τόδε, εὖ κύνες, εὖ ὦ κύνες· ἐὰν δὲ μὴ πρὸς αὐτοῖς

κοινὸν] Leonicenus *vulgo* vertit, Brodæus *folenne eft*. Leuncl. ἐκεῖνον conjecit, ad venatorem referens, quam fcripturam fecutus eft Britannus *Blane* et probavit Weifke.

αὐτῷ παῖς] Locus Stephano fufpectus. Pro pofteriori αὐτῷ Juntina et Edd. pr. (excepta Aldina) ἄτω habent, Codices a Brodæo infpecti αὐτοῦ, Vrat. ἃ τῷ. Zeunii conjecturæ mentione funt indignæ; Weifkio omnia funt ἄπορα vifa. Acclamat venator ἀρκυωρῷ; fed verba præftare fana equidem nolim. Pro δηλούτω, quod Brodæo debetur, δηλοῦτο erat ante Stephanianam. Pro ἀνακαλεσάμενος malim ἀνακαλεσάμενον.

19. οἷός τ' ᾖ—αὐταῖς] Vulgatum ἦν—αὐτοῖς correxit Brodæus, et verum dedit Stephanus et margo Parif. A.

ἢ καὶ πλησίον] Ex Bryl. 3. et Vratifl. καὶ ἢ dedit Zeune. καὶ omifit Caftalio. Sequens ἐπιβοώσας vitiofum effe apparet, et monuit Weifke, qui conjicit fcriptum olim fuiffe: φοιτώσας ἐπιβοήσας μὴ δύνηται ἀνακαλεῖν, ἢ ἐχ. Quid? fi hæc ἢ ἐπιβοήσας pro varietate adfcripta fuiffe cenfeamus ad fequens ἀναβοῶντα. Vratifl. ἐρχομένας habet cum Parif. B.

ἦ κατεῖδες] Ita recte Zeune pro ἢ fcripfit. Sequens προσστάντα dedi pro προστάντα. Vide Schæferi annotationem ad Julian. p. xxii.

20. Ἐπειδὰν δὲ] Vratifl. δὲ omittit.

ὁποσαχῆ—ποιούμενον] Ita locum interpunxit Weifke, cum vulgo poft ἂν ᾖ comma effet pofitum. At ita fequi debebat ὀξὺν, βαρὺν—μέγαν.

κελεύμασιν] Stephanus κελεύσμασι edidit contra morem Atticorum, de quo Hemfterhufius ad Ariftophanis Plutum verfu 430. Infra fect. 24. eft ἐγκελεύμασι.

εὖ κύνες, εὖ ὦ κύνες] Quidni idem acclamare licet etiam in campis? Recte Conr. Gefner εὖα κύνες, εὖα ὦ

ὦσι τοῖς ἴχνεσιν, ἀλλ' ὑπερβάλλωσι, καλεῖν αὐτὰς, οὐ πάλιν, οὐ πάλιν ὦ κύνες. 21. Ἐπειδὰν δὲ προστῶσι τοῖς ἴχνεσι, περιάγειν αὐτὰς, κύκλους πολλοὺς καὶ πυκνοὺς ποιούμενον· ὅπου δ' ἂν ᾖ αὐταῖς ἀμαυρὸν τὸ ἴχνος, σημεῖον θέσθαι στοῖχον ἑαυτῷ, καὶ ἀπὸ τούτου συνείρειν, μέχρις ἂν σαφῶς γνωρίσωσιν, ἐγκελεύοντα καὶ θωπεύοντα. 22. Αἱ δ', ἐπειδὰν λαμπρὰ ᾖ τὰ ἴχνη, ἐπιῤῥιπτοῦσαι, παραπηδῶσαι, κοινωνοῦσαι, ὑπολαμβάνουσαι, ἐνσημαινόμεναι, ὅρους τιθέμεναι ἑαυταῖς γνωρίμους, ταχὺ μεταθεύσονται· ὅταν δὲ οὕτως διὰ τοῦ ἴχνους πυκνῶς διάττωσι, μὴ κατέχοντα κυνοδρομεῖν, ἵνα μὴ ὑπὸ φιλοτιμίας ὑπερβάλλωσι τὰ

κύνες emendare videtur. Notus eſt errantium per devia montium Bacchantium clamor εὖα, unde εὐάζειν ductum eſt.

ὑπερβάλλωσι] Heſychius: ὑπερβάλλειν, παραβαίνειν. quæ gloſſa huic loco convenit. Vratiſl. ὑπερβάλωσι habet, non ineptum.

οὐ πάλιν] Leunclavius τοὔμπαλιν geminatum malebat; melius conjecit Weiſke σοῦ πάλιν, σοῦ πάλιν, comparans Ariſtophanis Veſp. verſu 204. ποῦ, ποῦ 'στι μοι τὸ δίκτυον; σοῦ, σοῦ πάλιν, σοῦ. Eſt a verbo σόω, σόεσθαι, σοῦσθαι.

21. πολλοὺς πυκνοὺς] Stephanus πολλοὺς καὶ πυκνοὺς malebat, idque e Pariſ. B. dedi. Comparat Weiſke cap. iii. 8. Voluit cap. viii. 3. ubi eſt: ἐὰν δ' ἐπηλλαγμένα ᾖ, ἐκ τῶν αὐτῶν πάλιν εἰς τὸ αὐτὸ ἥκοντα, κύκλους ποιούμενον ἐκπεριιέναι τὰ τοιαῦτα, ζητοῦντα ὅποι ἔξεισι. Gratius verſu 223. *tum ſigna vapore ferino intemerata legens, ſi qua eſt, qua fallitur, ejus turba loci, majore ſecat ſpatia extera gyro; atque hic egreſſu jam tum ſine fraude reperto, incubuit ſpatiis.* Sequentia Leonicenus vertit *limitem*, Leuncl. *ipſum indaginem*, Fr. Portus *venator ſibi ſignum ſtatuat.*

συνείρειν] *colligere* interpretatur Zeune. Cyropæd. vii. 5. 6. ἐπεὶ δὲ ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, ξυνεῖρον ἀπιόντες, ἔστε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο. ubi intelliges τὰ βήματα: celerioribus gradibus vel plurimis abibant. Hic intelliguntur κύκλοι: brevioribus circulis ſemper acceditur ad retia. *Blane* vertit: *draw the dogs along by the nets.* Vratiſl. συνείργειν habet, deinde μέχρι ἂν, ut Pariſ. B.

22. ἐνσημειούμεναι] Edd. quædam veteres ἐνσημούμεναι, unde Brodæus ἐνσημαινόμεναι effecit; atque hanc formam habet Pollux v. ſ. 85. de venatore: ἐγκελευέτω,—ἐνσημαινέσθω, ἐπισημαινέσθω. Ipſe adeo Xenoph. Cyrop. viii. 2. 3. τύπον ἐνσημαίνεσθαι Plato Reip. ii. p. 246. Præter hunc locum nulla verbo auctoritas eſſe videtur, et omiſit Stephani Theſaurus. Quid? quod formæ σημειόω, ἐπισημειόω, παρασημειόω, ὑποσημειόω, ἀποσημειόω ex ſerioribus tantum ſcriptoribus afferuntur in exemplis. Quare probo Brodæi ſcripturam, confirmatam a Codice Vratiſl. (et Pariſ. A. B.) ubi præterea eſt ὑπολαμβάνουσι, ut in Pariſ. B.

ὅρους] Weiſke interpretatur: nam ſubinde ad eundem locum recurrunt, ubi veſtigia inprimis graviter ſpirant, et ab eo denuo intendunt curſum.

μὴ κατέχοντα] Conr. Geſner negationem deleri voluit, Stephanus κατέχοντα μὴ ſcribi, quod factum eſt a ſecunda manu in Pariſ. A. Neutro opus eſt. κατέχοντα eſt *urgentem, inſtantem*, ut Hellenic. iv. 2. 21. Cf. infra ix. 20. et ad Cyrop. i. 4. 22.

φιλοτιμίας] Leonicenus *ſtudium certandi* vertit; hinc φιλονεικίας conjecit Leunclavius.

ἴχνη. 23. Ἐπειδὰν δὲ περὶ τὸν λαγὼ ὦσι, καὶ τοῦτο ἐπιδεικνύωνται σαφῶς τῷ κυνηγέτῃ, προσέχειν, ὅπως ἂν μὴ ὑποκινῇ εἰς τὸ πρόσθεν, πεφοβημένος τὰς κύνας· αἱ δὲ διαῤῥιπτοῦσαι τὰς οὐρὰς, καὶ ἑαυταῖς ἐμπίπτουσαι, καὶ πολλὰ ὑπερπηδῶσαι, καὶ ἐπανακλαγγάνουσαι, ἐπαναίρουσαι τὰς κεφαλὰς, εἰσβλέπουσαι εἰς τὸν κυνηγέτην, ἐπιγνωρίζουσαι ἀληθῆ εἶναι ἤδη ταῦτα, ὑφ' αὑτῶν ἀναστήσουσι τὸν λαγὼ, καὶ ἐπιᾶσι κεκλαγγυῖαι. 24. Ἐὰν δὲ εἰς τὰς ἄρκυς ἐμπίπτῃ, ἢ ἔξω ἢ ἐντὸς παρενεχθῇ, καθ' ἓν ἕκαστον τούτων ὁ ἀρκυωρὸς γεγωνείτω. Καὶ ἐὰν μὲν ᾖ ἑαλωκὼς, ἕτερον ἐπιζητεῖν· ἐὰν δὲ μὴ, μεταθεῖν χρώμενον τοῖς αὐτοῖς ἐγκελεύμασιν. 25. Ἐπειδὰν δὲ μεταθέουσαι αἱ κύνες ἤδη ὑπόκοποι ὦσι, καὶ ᾖ ὀψὲ ἤδη τῆς ἡμέρας, τότε δεῖ τὸν κυνηγέτην τὸν λαγὼ ἀπειρηκότα ζητεῖν, μὴ παραλείποντα μηδὲν, ὧν ἡ γῆ ἀνίησιν, ἢ ἔχει ἐφ' ἑαυτῆς, τὰς ἀναστροφὰς ποιούμενον πυκνὰς, ὅπως ἂν μὴ παραλειφθῇ· (κατακλίνεται γὰρ ἐν μικρῷ τὸ θηρίον, καὶ οὐκ ἀνίσταται ὑπὸ κόπου καὶ φόβου) τὰς κύνας ἐπαγόμενον, ἐγκελεύοντα, παραμυθούμενον τὴν φιλάνθρωπον,

23. περὶ τὸν] Vrat. ἐπὶ τὸν habet.

ἐπιδεικνύωνται] Ita cum Caſtal. Stephanus pro ἐπιδεικνύονται.

ὅπως ἂν μὴ] In Anabaſi v. 9. 28. erat μὴ λίαν ἂν ταχὺ σωφρονισθείην. quod vitioſum æque puto atque hunc locum, quanquam iterum ſect. 25. recurrat ὅπως ἂν μή.

διαῤῥιπτοῦσαι ταῖς οὐραῖς] Quod alibi διασείουσαι et διασαίνουσαι dixit. Sed verum dedit Pariſ. A. et Vratiſl. Is deinceps ἑαυτάς. Quod poſt κεφαλὰς vulgo ſequebatur ὑπερπηδῶσαι, ex antecedentibus male et alieno loco repetitum, deleri juſſerat jam olim Leunclavius, accedente vero Codicis Vergetiani auctoritate omiſit Weiſke. Verba τὰς κεφαλὰς in Edd. pr. omiſſa ſupplevit Brodæum ſecutus Leunclavius in Wecheliana. Sunt ea in Codice Pariſ. utroque.

ἐπιγνωρίζουσαι] Simplex erat iv. 4. Præpoſitio ἐπὶ videtur nutu et oculis cetera ſigna confirmantem canem ſignificare.

ὑφ' αὑτῶν] *leporem ultro excitabunt* Leonicenus. Zeune comma antea poſitum poſt αὑτῶν retractum collocavit poſt ταῦτα. Mihi ſcriptura hæc ſuſpecta eſt. De ſequenti κεκλαγγυῖαι, ubi vulgo erat κεκραγυῖαι, vide dicta ad iii. 9. Noſtra lectio eſt in Pariſ. B. margine Pariſ. A. et Vrat.

24. Ἐὰν δὲ] Stephanus ἐὰν δ' edidit; idem ſequens παρενεχθῇ ex Ald. repetiit, ubi reliquæ παρεχθῇ habent cum Pariſ. B. Deinceps ἐγκελεύσμ. habet Pariſ. B.

25. παραλείποντα μηδὲν] Arrianus xx. 2. μηδὲν ἐς δύναμιν παραλείποντες τῶν ὑπόπτων. Deinceps Vrat. et Pariſ. B. ἐφ' ἑαυτ. ἔχει. Poſtea αὐθάδην—ἐμβάλλῃ.

πολλά· τὴν αὐθάδη, ὀλίγα· τὴν μέσην, μέτρια· ἕως ἂν ἢ ἀποκτείνῃ αὐτὸν κατὰ πόδας, ἢ εἰς τὰς ἄρκυς ἐμβάλῃ. 26. Μετὰ δὲ ταῦτα ἀνελόντα τὰς ἄρκυς καὶ τὰ δίκτυα, ἀνατρίψαντα τὰς κύνας ἀπιέναι ἐκ τοῦ κυνηγεσίου· ἐπιμείναντα, ἐὰν ᾖ θερινὴ μεσημβρία, ὅπως ἂν τῶν κυνῶν οἱ πόδες μὴ καίωνται ἐν τῇ πορείᾳ.

CAPUT VII.

De catulis procreandis, educandis et instituendis ad venandum.

1. Σκυλακεύειν δὲ αὐτὰς ἐπανιέντα τῶν πόνων τοῦ χειμῶνος, ἵνα, ἔχουσαι τὴν ἡσυχίαν, πρὸς τὸ ἔαρ ἐπάγωνται τὴν φύσιν γενναίαν· ἡ γὰρ ὥρα πρὸς τὰς αὐξήσεις τῶν κυνῶν κρατίστη αὕτη· εἰσὶ δὲ τέτταρες καὶ δέκα ἡμέραι, ἐν αἷς ἡ ἀνάγκη αὕτη ἔχει. 2. Ἄγειν δὲ καταπαυομέ-

26. ἀνελόντα] Edd. pr. cum Codice Parif. utroque ἀνέλονται. Verum dedit Caftalio, vertit Leonicenus, et habet margo Parif. A.

ἀνατρίψαντα] Leonicenus ἀνατρέψαντα videtur legiffe *avertat* vertens, uti Leunclavius quoque: idem conjecit Brodæus. Codex Parif. B. ἀνατρέψαντα habet cum Vratifl. Frictionem in primis commendat Arrianus c. 10. ἐπιέναι dat Parif. A.

Cap. VII. 1. ἐπανιέντα] Intellige χρὴ τὸν σκυλακεύοντα. Pollux v. f. 51. σκυλακεία δὲ ἡ μέν τις νοείσθω σκυλάκων ἀνατροφὴ, ἡ δὲ τούτων γένεσις. καὶ τὸ σκυλακεύειν τὰς κύνας χρῆναι τοῦ χειμῶνος, ἐστὶν ἐμπιμπλᾶναι σκυλάκων καὶ ὀχεύειν. unde apparere videtur, Pollucem in hoc loco fcriptum legiffe σκυλακεύειν δὲ χρὴ αὐτάς. Pergit: προδιαπονηθεῖσαι δὲ, εἶτα ἀναπαυσάμεναι κατὰ καιρὸν ἂν συνδυάζοιντο, τῷ μὲν πόνῳ γεγενημένων αὐταῖς τῶν σωμάτων εὐπαγῶν, τῇ δὲ ἀναπαύσει πρὸς ἰσχὺν τραφέντων.

ἐπάγωνται] *procreare* ex h. l. interpretatur Index Zeunianus; tacet Weifke. Mihi hæc verbi notio inaudita eft, et verba φύσιν γενναίαν de catulo bonæ indolis dubitationem faciunt.

αὐξήσεις] i. e. ad procreationem et educationem, infolenter dixit. Sequens ἡμέραι vertit Leonicenus et Brodæus voluit fubftitui fcripturæ Edd. pr. αὗται. Stephanus ἡμέραι αὗται edidit. Scilicet in Codice Parif. utroque eft δεκα αυται, in margine A. ἡμέραι. unde ἡμέραι αὐταὶ, *ipfæ decem dies*, effeciffem potius.

ἀνάγκη αὕτη] impetus ad venerem. αὐτὰς addi vult Weifke, Arrianum comparans xxxi. 3. εἰ δὲ μήπω ἐθέλοις σκυλακεῦσαι, φυλάττειν ὡς ἀνυστὸν ἐπιμελέστατα τὰς κύνας, ἐπειδὰν τῇ ἀνάγκῃ ταύτῃ ἔχωνται. De numero dierum confentit Ariftoteles h. a. vi. 20. Paulo antea τέσσαρες καὶ δέκα αὗται, ἐν Vratifl.

2. καταπαυομένας] Non otio fruentes five ceffantes a venatione; nam de hac quiete jam dictum; fed requiefcentes a coitu, interpofito jufto temporis fpatio, nifi e primo coitu concepiffe videantur. Ita ad h. l. Weifke, qui Britanni *Blane* verfionem pofuit *in a quiet manner.* Sed fi voluiffet id dicere Xenophon, pofuiffet διαναπαυομένας; nunc vero eft καταπαυομένας. Intelligo τῆς ἀνάγκης, et interpretor: *cum paulatim remifit*

νας, ἵνα θᾶττον ἐγκύμονες γίγνωνται, πρὸς κύνας ἀγαθούς· ἐπειδὰν δὲ ὦσιν ἐπίφοροι, μὴ ἐξάγειν ἐπὶ κυνηγέσιον ἐνδελεχῶς, ἀλλὰ διαλείπειν, ἵνα μὴ φιλοπονίᾳ διαφθείρωσι· κύουσι ἑξήκονθ' ἡμέρας. 3. Ἐπειδὰν δὲ γένηται τὰ σκυλάκια, ὑπὸ τῇ τεκούσῃ ἐᾶν, καὶ μὴ ὑποβάλλειν ὑφ' ἑτέραν κύνα· αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι οὐκ εἰσὶν αὔξιμοι· τὸ δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθὸν, καὶ τὸ πνεῦμα, καὶ αἱ περιβολαὶ φίλαι. 4. Ἐπειδὰν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, διδόναι γάλα μέχρι ἐνιαυτοῦ, καὶ οἷς μέλλει τὸν ἅπαντα χρόνον βιώσεσθαι, ἄλλο δὲ

ardor libidinis. Monet enim Ariſtoteles l. c. τὰ δὲ καταμήνια ταῖς κυσὶν ἑπτὰ ἡμέραις γίνεται·—ἐν δὲ τῷ χρόνῳ τούτῳ οὐ προσίενται ὀχείαν, ἀλλ' ἐν ταῖς μετὰ ταύτας ἑπτὰ ἡμέραις· τὰς γὰρ πάσας δοκεῖ σκυζᾶν ἡμέρας τέτταρας καὶ δέκα ὡς ἐπὶ τὸ πολύ. Ita plane Arrianus cap. 27. φυλάξαι χρὴ τὴν κύνα, ἐπειδὰν ἀποκαθαρθῇ ἀπὸ τοῦ αἵματος· πρόσθεν δὲ εἰ παραλάβοιεν τὴν γονὴν, τὸ πολὺ οὐ κρατοῦσιν, ἀλλὰ ἐκκλύζεται ὑπὸ τοῦ αἵματος καθάπερ ταῖς γυναιξὶ et cet. Veram interpretationem aſſecutus mox deſeruit Gail.

ἐπίφοροι] Heſychius: ἐπίφορος, τοῦ τεκεῖν ἐγγὺς οὖσα. Pollux v. ſ. 52. κύουσι δὲ δύο μῆνας, καὶ οὐκ ἄν τις ἐξαγάγοι ἐπὶ θήραν κύουσαν, ὁπότε ἐπίτεξ εἴη καὶ ἐπίφορος.

φιλοπονίᾳ διαφθείρωσι] Intellige τὸ ἔμβρυον, fœtum. Vulgatam ſcripturam φιλοπονίαν Leuncl. mutandam cenſuit in διὰ φιλοπονίαν διαφθαρῶσι. Noſtrum debetur Weiſkio, qui comparavit locum Arriani cap. xxviii. 2. μετὰ ταῦτα δὲ ἐξάγειν μὲν ἐπὶ θήραν· ὁ γὰρ περίπατος ἀγαθὸν ἐς ῥώμην ταῖς κυσίν· ἐφεῖναι δὲ αὐτὰς λαγωῷ μηκέτι· κίνδυνος γὰρ διαφθεῖραι ὑπερπονοῦσαν καὶ ὑπερταθεῖσαν.

ἑξήκονθ' ἡμέρας] Ariſtoteles l. c. hæc eadem de Laconicis canibus tradit. Cetera genera plus temporis adſumunt.

3. Ἐπειδὰν δὲ] Hic et initio ſect. 4. δὲ omittit Vratiſl.

τὸ δὲ τῶν μητέρων καὶ τὸ] Stephano corrigenti τῶν δὲ μητέρων obſecuta eſt Welſiana, eamque ſcripturam probabat Weiſke, niſi Arrianus cap. 30. vulgatam retuliſſet his verbis: εἰ δὲ μηκέτι ἐς δρόμον ἐπιτηδείως ἔχουσα φαίνοιτο ἡ κύων, κράτιστον ἐᾶν ὑπὸ τῇ τεκούσῃ, καὶ μὴ ὑποβάλλειν ὑφ' ἑτέραν κύνα· αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι, ᾗπερ καὶ Ξενοφῶν ἐκεῖνος ἀποφαίνει, οὐκ εἰσὶν αὔξιμοι· τὸ δὲ τῶν μητρῶν καὶ τὸ γάλα ἀγαθὸν καὶ τὸ πνεῦμα. Pollux ſ. 50. τροφαὶ μὲν δὴ τοῖς σκύλαξι μετὰ τὸ ἐκ τῶν μητέρων γάλα, (τοῦτο γάρ φησιν αὔξιμον εἶναι ὁ Ξενοφῶν αὐτό τε καὶ τὸ μητρῷον πνεῦμα) ἀλλὰ μετὰ τοῦτο τὸ τῶν ἁλισκομένων αἷμα δεῖ προσφέρειν τοῖς σκύλαξιν, ἵνα προσεθίζωνται τῇ κυνηγετικῇ τροφῇ. ex quo loco conjiciebat Weiſke, Xenophontem ſcripſiſſe τὸ δ' ἐκ τῶν μητέρων ἀγαθὸν καὶ τὸ γάλα et cet. Xenophontis verba eleganter reddidit Columella vii. 12. 12. *nec unquam eos, quorum generoſam volumus indolem conſervare, patiemur alienæ nutricis uberibus educari: quoniam ſemper et lac et ſpiritus maternus longe magis ingenii atque incrementa corporis auget.*

4. καὶ οἷς μέλλει] Pariſ. B. βιώσασθαι deinceps habet. *Blane* ſolum lac præbendum præcipere putavit Xenophontem; Pollux ſanguinem animalium captorum interpretari videtur. Arrianus c. 31. καὶ ὁπόταν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, ὀρθῶς ξυμβουλεύει, ὅτι χρὴ γάλακτι ἀνατρέφειν αὐτά· καὶ ὅτι αἱ βαρεῖαι πλησμοναὶ τά τε σκέλη αὐτοῖς διαστρέφει καὶ τοῖς σώμασι νόσους ἐμβάλλουσι. Vides verba dubia præterire Arrianum; is præterea articulos τὰ σκέλη, τοῖς σώμασι recte addidit, qui hic male deeſſe videntur. Gravis cibi noxam canit Nemeſianus verſu 168. ſeqq.

μηδέν· αἱ γὰρ βαρεῖαι πλησμοναὶ τῶν σκυλακίων διαστρέφουσι σκέλη, σώμασι νόσους ἐμποιοῦσι, καὶ τὰ ἐντὸς ἄδικα γίγνεται. 5. Τὰ δ' ὀνόματα αὐταῖς τίθεσθαι βραχέα, ἵνα εὐανάκλητα ᾖ. Εἶναι δὲ χρὴ τοιάδε· Ψυχὴ, Θυμὸς, Πόρπαξ, Στύραξ, Λόγχη, Λόχος, Φρουρὰ, Φύλαξ, Τάξις, Ξίφων, Φόναξ, Φλέγων, Ἀλκὴ, Τεύχων, Ὑλεὺς, Μήδας, Πόρθων, Σπέρχων, Ὀργὴ, Βρέμων, Ὕβρις, Θάλλων, Ῥώμη, Ἀνθεὺς, Ἥβα, Γηθεὺς, Χαρὰ, Λεύσσων, Αὐγὼ, Πολὺς, Βία, Στίχων, Σπουδὴ, Βρύας, Οἰνὰς, Στεῤῥὸς, Κραυγὴ, Καίνων, Τύρβας, Σθένων, Αἰθὴρ, Ἀκτὶς, Αἰχμὴ, Νόης, Γνώμη, Στίβων, Ὁρμή. 6. Ἄγειν δὲ τὰς σκύλακας ἐπὶ τὸ κυνηγέσιον, τὰς μὲν θηλείας ὀκταμήνους, τοὺς δὲ ἄῤῥενας δεκαμήνους· πρὸς δὲ τὰ ἴχνη τὰ εὐναῖα μὴ λύειν, ἀλλ' ἔχοντα ὑφημμένας μακροῖς

ἄδικα] Brodæi conjecturæ ἀδινὰ alteram ἀκιδνὰ addit Zeune, qui tamen recte comparat ex Cyrop. ii. 2. 15. ἅρμα δίκαιον, ἵππους ἀδίκους, de quibus Ruhnken ad Memorab. p. 237. Supra ἄδικος γνάθος adfuit; et de Venat. iv. 5. δικαίως, i. e. non temere. γίνεται Vratisl.

5. ὀνόματα] Ita cum Castal. et Bryll. Zeune. ὀνόματ' ceteræ Edd. Præceptum repetit Arrianus xxxi. 2. Oppianus Cyn. i. 443. seqq. Columella vii. 12. 13. *nominibus autem non longissimis appellandi sunt, quo celerius quisque vocatus exaudiat; nec tamen brevioribus, quam quæ duabus syllabis enuntientur, sicuti græcum est* σκύλαξ, *latinum ferox, græcum* Λάκων, *latinum celer, vel femina, ut sunt græca* σπουδὴ, ἀλκὴ, ῥώμη, *latina lupa, cerva, tigris.* ubi Edd. primæ et Codices nominum diversorum vestigia habent obscura.

Τάξις] A τάζω, prehendo, derivatum suspicatur Weiske. Ξίφων pro Ξίφον primus edidit Castalio. Sequens vulgo Φόνεξ e Paris. B. et margine A. correxi. Ὑλεὺς ab ὕλη derivat Weiske, comparans Hylæum Ovidii Metamorph. iii. 213. *Blane* comparat Britannicum *Dashwood.* Πολὺς Weiske suspicatur in Πόλος mutandum, ut sit idem quod Στείχων. Pro Τύρβας male Editio Zeunii Τύβρας posuit, sed illud vocabulum est etiam in Codicibus Paris. A. B. Ἥβη paulo antea ex margine Wechelianæ dedit Welsiana. Codex Paris. B. Ἥνα, deinceps Τηθεὺς—Πολις dat. Deinde Γνώμης Castalio et Bryll.

6. ὀκταμήνους] Pollux f. 54. τοὺς δὲ σκύλακας ἑξαμήνους μὲν τὰς θηλείας οὔσας, ὀκταμήνους δὲ τοὺς ἄῤῥενας ἐπὶ τὴν θήραν ἀκτέον, ἱμάντι μακρῷ ἐνηγκυλημένῳ ἐξημμένους, εἶθ' ὅταν ἐν καταλήψει γένηται τὸ θηρίον, ἐφιέναι καὶ τούτοις ἑλεῖν, ἵνα χαίρωσι τῇ θήρᾳ, τὸ μὲν πρῶτον ἀπὸ τοῦ ἱμάντος ὑλακτεῖν ἐῶντας, μικρὸν δὲ ὕστερον καὶ τὴν ἀγκύλην ἀπολύσαντας, ὡς μὴ τεινόμενοι ῥηγνύωνται. Aliter Arrianus cap. xxv. et xxvi. sed idem maribus plus temporis attribuit. Vratisl. ὀκταμηναίους—δεκαμηναίους, et paulo antea κύνας pro σκύλακας habet cum Paris. B.

τὰ εὐναῖα] Ita Aldina, εὐραῖα ceteræ. In Polluce f. 12. Editorum socordia reliquit ἴχνη εὐναῖα, εὔραια, δρομαῖα. ubi cum Salmasio Kühn εὐρέα malebat. *Blane* interpretatur *the trail.*

ὑφημμένας] Vulgatum ὑφειμένας ex Polluce et sententiæ tenore correxi; miror, tot Interpretes vitium non animadvertisse. Deinde ἀκολουθῶν Castal. Hal. Bryl. 3. habent.

ἱμᾶσιν ἀκολουθεῖν ταῖς κυσὶν ἰχνευούσαις, ἐῶντα αὐτὰς διατρέχειν τὰ ἴχνη. 7. Καὶ ἐπειδὰν ὁ λαγὼς εὑρίσκηται, ἐὰν μὲν καλαὶ ὦσι πρὸς τὸν δρόμον τὰ εἴδη, μὴ ἀνιέναι εὐθύς· ἐπειδὰν δὲ προλάβῃ ὁ λαγὼς τῷ δρόμῳ, ὥστε μὴ ἐφορᾶν ἔτι αὐτὸν, τὰς σκύλακας ἱέναι. 8. Ἐὰν γὰρ ὁμόθεν καλὰς τὰ εἴδη οὔσας καὶ εὐψύχους πρὸς τὸν δρόμον ἐπιλύῃ, ὁρῶσαι τὸν λαγὼ, ἐντεινόμεναι ῥήγνυνται, οὔπω ἔχουσαι συνεστῶτα τὰ σώματα· διαφυλάττειν οὖν δεῖ τοῦτο τὸν κυνηγέτην. 9. Ἐὰν δὲ αἰσχίους ὦσι πρὸς τὸν δρόμον, οὐδὲν κωλύει ἱέναι· εὐθὺς γὰρ δὴ ἀνέλπιστοι οὖσαι τοῦ ἑλεῖν, οὐ πείσονται τοῦτο. Τὰ δὲ δρομαῖα τῶν ἰχνῶν, ἕως ἂν ἕλωσι, μεταθεῖν ἐᾷν· ἁλισκομένου δὲ τοῦ λαγῶ, διδόναι αὐταῖς ἀναῤῥηγνύναι. 10. Πρὸς δὲ ταῖς ἄρκυσι διδόναι τὰ σιτία αὐταῖς, ἕως ἂν νέαι ὦσιν, [ὅταν

ἰχνευούσαις] *canibus ætatis maturæ* recte cum Galio et Blanio Weiſke a catulis diſtinguens interpretatur.

7. καλαὶ] Hanc Juntinæ ſcripturam vulgari καλοὶ cum Corr. Geſnero recte prætulit Stephanus; καλὰ maluit Brodæus. Sequens εἴδη a Leoniceno verſum et a Brodæo in Codd. repertum recte vulgato ἴχνη idem Stephanus cum Geſnero prætulit. Eſt id in margine Codicis Parif. A. Utrumque habet Vratiſl. Pariſ. B.

ἱέναι] Vulgatum ἰέναι hic et ſect. 9. correxit Weiſke, et Leonicenus utrobique *emittere* vertit. Arrianus cap. XXV. 4. ἔπειτα ἵστασθαι τὸν ἔχοντα αὐτὰς ἐν χωρίῳ περιφανεῖ καὶ ὑπερδεξίῳ, καὶ φθάσαντι μὲν τῷ λαγῷ καὶ προλαβόντι οὐχ ὁρῶσαν μὴ ἐφιέναι· τοῦτο γάρ τοι περὶ τῶν εἰς ἰχνείαν ἀσκουμένων κυνῶν παραινεῖ ὁ Ξενοφῶν ἐκεῖνος. Κύνα δὲ ὠκεῖαν εἰ μὴ ὁρῶσαν ἐπιλύσειας et cet. Unde apparet, male Weiſkium verbum ἐφορᾷν referre ad venatorem.

8. ῥήγνυνται] Arrianus cap. XXXI. 4. de gravidis: καὶ ἔστι τηνικαῦτα οὐκ ἀσφαλὲς ἐπιλύειν κύνα ἐπὶ λαγών· ῥήγνυνται γὰρ αὐταῖς αἱ λαγόνες. Ceterum ἐκτεινόμεναι non pejus habet Pariſ. A. In Cyrop. V. 4. 3. eſt προθύμως ἐκτείνων τὸν ἵππον ἐδίωκε de concitato equi curſu.

9. δὴ ἀνέλπιστοι] Vratiſl. μὴ ἀνέλπ. dat cum Pariſ. A.

ἕως ἂν ἕλωσι] Vulgatum ἔλθωσι vitioſum eſt, ut ſequentia τῷ ἴχνει. Leunclavius igitur corrigebat: τὰ δὲ δρομαῖα τῶν ἰχνῶν, ἕως ἂν εὕρωσι, μεταθεῖν ἐᾷν. Leonicenus vertit: *ſed ad pedum veſtigia tranſcurrere ſinat, quoad ea invenerint.* Videtur igitur εὕρωσι vel ἕλωσι ſcriptum legiſſe. τὰ ἴχνη probabat Zeune, ut εὕρωσι vel ἕλωσι. Contra Weiſke ad verba τὰ δρομαῖα intelligebat κατὰ, deinde ἐθέλωσι ſcripſit, ἕως ἂν interpretatus *quamdiu*, ut ſect. 11. τῷ ἴχνει intacta reliquit, quæ nulla ratione defendere licet. Equidem ἕλωσι ſcripſi, in ceteris Leunclavium ſecutus, ne nimis longe remota diſcedant verba τῶν ἰχνῶν cum illis τὰ δρομαῖα copulanda. Codex Pariſ. B. τὰ ἴχνη habet. τω ιχνη A.

ἀναῤῥηγνύναι] Arrianus cap. XXV. 2. ἡ δὲ (adulta canis) εὐμαρῶς ἐξελίσσουσα τὸν λαγὼ παραδώσει τῇ σκύλακι· ἑλοῦσαν δὲ ἐᾷν σπαράξαι τοῖς ὀδοῦσιν, ἔστι κατακανεῖν. Nemeſianus 199. *prædam exanimare velint tantum, non carpere ſumtam.*

10. [ὅταν ἀναιρῶνται]] Vulgatum ἀναίρωνται ineptiſſime Zeune interpretatur ὅταν τὰ προσφερόμενα δέχωνται, quaſi ἀναίρεσθαι dictum fuerit

ἀναιρῶνται,] ἵν', ἐὰν πλανηθῶσιν ἐν τῷ κυνηγεσίῳ δι' ἀπειρίαν, πρὸς τοῦτο ἐπανιοῦσαι σώζωνται. Ἀφεθήσονται δὲ τούτου, ὅταν ἤδη τῷ θηρίῳ ἔχωσι πολεμίως, ἐπιμέλειαν δὲ ποιήσονται τούτου μᾶλλον ἢ ἐκείνου φροντίζειν. 11. Ἐπειδὰν δὲ μηκέτι θέλωσι προσμένειν ταῖς ἄρκυσιν, ἀλλ' ἀποσκεδαννύωνται, ἀναλαμβάνειν, ἕως ἂν ἐθισθῶσιν εὑρίσκειν προσθέουσαι τὸν λαγώ· μή, οὐκ ἐν κόσμῳ ἀεὶ τοῦτον ζητοῦσαι, τελευτῶσαι γίγνωνται ἔκκυνοι· πονηρὸν μάθημα. 12. Χρὴ δὲ καὶ ὡς τὰ πολλὰ διδόναι τὰ ἐπιτήδεια ταῖς κυσὶν αὐτόν· ὅταν μὲν γὰρ ἐνδεεῖς ὦσι, τούτου

pro ionico *προσαίρεσθαι*, attico *προσφέρεσθαι*. Recte cum Stephano correxit Weiſke, interpretatus *ubi retia illa tolluntur ſeu amoventur*, ut eſt cap. vi. 26. Leuncl. conjecit *ὅταν εὕρωσί τι*. In margine Leuncl. prioris et Steph. poſter. eſt *ὅθεν ἀναίρωνται*. Leonicenus vertit: *tunc enim ſuſcipiunt*. Zeune conjecturam addit omnium ineptiſſimam *ὅταν ἔῤῥωνται*. Weiſke ait, prudenter ſub extremum tempus venationis cibum catulis præberi iſto loco, ut in poſterum (*πρὸς τοῦτο*) ad cibum capiendum redeant, et ſalvi poſſint reduci. Quæ equidem plane non intelligo; contra Xenophontis conſilium eſt manifeſtum et aptum. *πρὸς τοῦτο* non *eſt ad cibum capiendum*, ſed *ad iſtum locum*, ut recte interpretatur Zeune. Breviter ut dicam, verba hoc loco aliena ſunt duo, quæ ſecluſi, ne ſenſum perturbent.

δὲ τούτου] omittent redire ex erroribus ad retia. *ἐκείνου φροντίζειν* eſt *curare cibum*.

11. *Ἐπειδὰν δὲ*] Hanc paragraphum vulgo præpoſtero ordine ante præcedentem collocatam huc retraxi, nec dubito lectores ſemel admonitos aſſenſuros eſſe pleroſque omnes; tam manifeſta mihi res eſſe videbatur, licet ceteri Interpretes ſileant.

προσθέουσαι] Vrat. *προθέουσαι* habet cum Pariſ. B.

μή, οὐκ ἐν κόσμῳ] Ita Stephanus ſcripſit, et ſic eſt in duobus Codd. Pariſ. quanquam ibi *μὴ μὴ* eſt. Vulgo negatio altera abeſt; igitur Conr. Geſner. *μὴ ἀκόσμως ἀεὶ τοῦτο ποιοῦσαι*, Leuncl. *μὴ οὐδενὶ κόσμῳ* vel *μὴ ἀκόσμως τοῦτον ζητοῦσαι*. Pro *τοῦτον* vulgo erat *τοῦτο*, quod correxit Leuncl. Verum eſt in margine Pariſ. A. *προσθέουσαι* Weiſke interpretatur *conjunctim cum ceteris canibus currentes*. At hoc eſſet *συνθέουσαι*.

ἔκκυνοι] Ante hoc vocabulum *γίγνονται* habet codex uterque Pariſ. *Blane* vertit *ſkirters*. Quid ſit, optime explicat Arrianus c. xxv. 5. *κύνα δὲ εἰ μὴ ὁρῶσαν ἐπιλύσειας, πλάζεται καὶ σκιρτᾷ καὶ ἔκφρων γίγνεται καὶ ἀνασοβεῖται· καὶ τοίνυν εἴ ποτε διαφύγοι αὐτὴν τελειωθεῖσαν ἤδη ὁ λαγώς, οὐκ ἀτρέμα ἔχει αὐτήν, οὐδὲ ἐπὶ τὸν κυναγωγὸν ἐπάνεισι, οὐδὲ ἀνακαλοῦντος ὑπακούει, ἀλλ' ὑπὸ μελέτης τοῦ θεῖν ἐπὶ μηδενὶ εἰκῆ πλάζεται καὶ μαινομένῃ ἔοικεν.*

12. *ὡς τὰ πολλὰ*] Cum Conr. Geſnero et Stephano vulgatum *εἰς τὰ π.* correxi, nullis exemplis idoneis defenſum a Zeunio. *κυσὶν αὐτῶν* Vratiſl. Pariſ. B.

ἐνδεεῖς] Negationem Welſiana ex conjectura Conr. Geſneri et Leunclavii addidit. Zeune vulgatum defendens interpretatur: *cum enim eſuriunt, eorum amor erga dominum hoc nomine non imminuitur, quod ignorant cauſam rei*; (famis?) *at ſi cibum eſurientes accipiunt, diligunt eum, a quo ipſis hoc beneficium contigit.* Breviter: *famem facile patiuntur, nec ulli imputant, contra qui famem explet, eum diligunt.* *δὲ* poſt *ὅταν* ex verſione Leoniceni et Caſtal. addidit Zeune.

τὸν αἴτιον οὐκ ἴσασιν· ὅταν δὲ ἐπιθυμοῦσαι λάβωσι, τὸν διδόντα στέργουσιν.

CAPUT VIII.

De leporibus venandis per hiemem.

1. Ἰχνεύεσθαι δὲ τοὺς λαγὼς, ὅταν νίφῃ ὁ θεὸς, ὥστε ἠφανίσθαι τὴν γῆν· εἰ δ᾽ ἐνέσται μελάγχειμα, δυσζήτητος ἔσται. Ἔστι δὲ, ὅταν μὲν ἐπινίφῃ, καὶ ᾖ βοῤῥεῖον, τὰ ἴχνη ἔξω πολὺν χρόνον δῆλα· οὐ γὰρ ταχὺ συντήκεται· ἐὰν δὲ νότιός τε ᾖ, καὶ ἥλιος ἐπιλάμπῃ, ὀλίγον χρόνον· ταχὺ γὰρ διαχεῖται. Ὅταν δὲ ἐπινίφῃ συνεχῶς, οὐδὲν δεῖ· ἐπικαλύπτει γάρ· οὐδὲ, ἂν πνεῦμα ᾖ μέγα· συμφοροῦν γὰρ τὴν χιόνα, ἀφανίζει. 2. Κύνας μὲν οὖν οὐδὲν δεῖ ἔχοντα ἐξιέναι ἐπὶ τὴν θήραν ταύτην· ἡ γὰρ χιὼν καίει τῶν κυνῶν

Cap. VIII. 1. Ἰχνεύεσθαι] Zeune χρὴ intelligit; præterea χειμῶνος addi voluit Weiſke.

μελάγχειμα] Pollux v. ſ. 66. εὐναὶ λαγῶν—ἐν δὲ χιόνι τὰ μελάγχειμα. ἔστι δὲ ταῦτα τὰ κοῖλα, ἐν οἷς ἡ χιὼν διατέτηκε· κέκληται δὲ, ὅτι παρὰ τὴν ἄλλην τῆς γῆς ὄψιν λευκὴν οὖσαν ὑπὸ τῇ χιόνι ταῦτα μόνα μελαίνεται. Ipſe Xenophon in Anabaſi iv. 5. 12. ita deſcribit: καὶ ἰδόντες μέλαν τι χωρίον, διὰ τὸ ἐκλελοιπέναι αὐτόθεν τὴν χιόνα, εἴκαζον τετηκέναι τὴν χιόνα. In Æſchyli Perſis verſu 299. μελάγχιμος eſt. Ceterum ἔνεστι Pariſ. B.

δυσζήτητος] Infra ſect. 7. περιτείνειν αὐτῶν ἑκάστῳ τὰ δίκτυα τὸν αὐτὸν τρόπον, ὅνπερ ἐν τοῖς μελαγχείμοις. ad quem locum Weiſke: *Sed de hoc nihil ſupra dictum. Videtur igitur in ſuperioribus aliquid excidiſſe.* Quin hoc ipſo in loco tradit ea Xenophon, ad quæ infra reſpexit; quod miror virum doctum latuiſſe. Cauſam ſtatim videbimus. Suſpicor in h. l. negationem οὐ excidiſſe, ex ipſa narratione et ex Polluce v. ſ. 50. ubi ait: διὰ μέντοι χιόνος ἐπιφανέστερα τὰ ἴχνη καὶ οὐ δυσζήτητα, ἀλλ᾽ εὐεύρετος ὁ λαγώς.

ἐπινίφῃ] Caſtal. Bryll. ἐπὶ νίφῃ. Sequens βοῤῥεῖον frequentius βόρειον πνεῦμα dicitur, et ſic Vratiſl. qui poſtea ἐπιλάμβῃ habet. Statim tamen νότιος dicitur, intellecto ἄνεμος. Supra cap. v. 3. erant τὰ νότια. In Codice Pariſ. A. βόρειον eſt, ſupra ſcripto βόρειος.

ἔξω] Portus: *eminentia, exſtantia, perſpici diu poſſunt.* Quem reprehendit Weiſke, et ſcribendum cenſet τὰ ἔξω ἴχνη, quæ ipſe interpretatur: *veſtigia poſteriorum pedum, ut altius impreſſa.* Comparat cap. v. ſ. 30. ſed ibi ἔξω longe alio ſenſu dicitur. Nihil mutandum cenſeo. ἔξω refertur ad τὰ μελάγχειμα, in quibus cubile lepus habet. De his ſequentia omnia ſunt intelligenda.

οὐδὲν δεῖ] Repete ἰχνεύεσθαι, item ad ſequens οὐδὲ, ἂν, ubi ἐὰν habet Vratiſl. et Pariſ. B.

2. ἔχοντα] Vulgato ἔχοντας ex Welſiana ſubſtituit Zeune. Deinceps ſcribendum eſſe cenſuit Weiſke ῥῖνας καὶ τοὺς πόδας, τὴν δ᾽ ὀσμήν. Ego vero etiam cenſeo ſcribendum καίει μὲν τῶν κυνῶν τὰς ῥῖνας καὶ τοὺς πόδας, τὴν δ᾽ ὀσμήν. Zeune copulam καὶ ante ὀσμὴν aut δὲ deinceps inſeri voluit. Cf. Arriani cap. xiv. 4. ubi ex h. l. ἀποκαίονται γὰρ ἐν τῷ κρυστάλλῳ αἱ κύνες ſcribendum cenſeo pro ἀποκναίονται. Vrat. ὑπερπαγὲς habet.

τὰς ῥῖνας, τοὺς πόδας, τὴν ὀσμὴν τοῦ λαγῶ ἀφανίζει διὰ τὸ ὑπέρπαγες. Λαβόντα δὲ τὰ δίκτυα, μετ' ἄλλου ἐλθόντα, πρὸς τὰ ὄρη παριέναι ἀπὸ τῶν ἔργων· καὶ, ἐπειδὰν λάβῃ τὰ ἴχνη, πορεύεσθαι κατὰ ταῦτα. 3. Ἐὰν δ' ἐπηλλαγμένα ᾖ, ἐκ τῶν αὐτῶν πάλιν εἰς τὸ αὐτὸ ἥκοντα, κύκλους ποιούμενον ἐκπεριϊέναι τὰ τοιαῦτα, ζητοῦντα ὅποι ἔξεισι. Πολλὰ δὲ πλανᾶται ὁ λαγὼς, ἀπορούμενος ὅπου κατακλιθῇ· ἅμα δὲ καὶ εἴθισται τεχνάζειν τῇ βαδίσει, διὰ τὸ διώκεσθαι ἀεὶ ἀπὸ τῶν τοιούτων. 4. Ἐπεὶ δ' ἂν φανῇ τὸ ἴχνος, προϊέναι εἰς τὸ πρόσθεν. Ἄξει δὲ ἢ πρὸς σύσκιον τόπον ἢ πρὸς ἀπόκρημνον· τὰ γὰρ πνεύματα ὑπερφορεῖ τὴν χιόνα ὑπὲρ τῶν τοιούτων· παραλείπεται οὖν εὐνάσιμα πολλά· ζητεῖ δὲ τοῦτο. 5. Ἐπειδὰν δὲ τὰ ἴχνη πρὸς τοιαῦτα φέρῃ, μὴ προσιέναι ἐγγὺς, ἵνα μὴ ὑποκινῇ, ἀλλὰ κύκλῳ ἐκπεριϊέναι· ἐλπὶς γὰρ, αὐτοῦ εἶναι. Δῆλον δ' ἔσται· τὰ γὰρ ἴχνη ἀπὸ τῶν τοιούτων οὐδαμοῦ περάσει. 6. Ἐπειδὰν δὲ ᾖ σαφὲς, ὅτι αὐτοῦ ἐστιν, ἐᾶν· μενεῖ γάρ· ἕτερον δὲ ζητεῖν, πρὶν τὰ ἴχνη ἄδηλα γενέσθαι, τῆς ὥρας ἐνθυμούμενον, ὅπως, ἂν καὶ ἑτέρους εὑρίσκῃ, ἔσται ἡ λει-

3. εἰς τὸ αὐτὸ] Leuncl. malebat εἰς τὰ αὐτά. Deinde ἐκπροϊέναι eſt in Pariſ. B. et Vratiſl. Sequens ὅποι ex Stephani conjectura recepit Weiſke pro ὁποῖα vulgato. Idem vertit Leonicenus.

ὅπου κατακλιθῇ] Hæc ſana eſſe non videntur. Cap. v. 8. fuit κατακλίνονται δ' εἰς ἃ ἡ γῆ φύει ἢ ἔχει. In Anabaſi vii. 3. 29. ἠπορεῖτο, ὅ, τι ποιήσοι. Futurum igitur etiam in h. l. deſidero, cujus vicem dubito an κατακλιθείη ἂν præſtare poſſit.

τεχνάζειν] Ælianus h. a. vi. 47. εἰς τὴν κοίτην τὴν συνήθη οὐ πάρεισιν ὁ λαγὼς, πρὶν ἢ ταράξαι τὰ ἴχνη πη μὲν εἰσιὼν, πη δὲ ἐξιὼν, ἵνα ἀφανίσῃ τὴν ἐκ τῶν θηρατῶν εἰς αὐτὸν ἐπιβουλήν· σοφίᾳ τινὶ φυσικῇ τὸ θηρίον τοὺς ἀνθρώπους αἱμυλώτατα ἀπατῆσαν.

4. Ἐπεὶ δ' ἂν] Ita Leuncl. vulgatum ἐπειδὰν ſcripſit; Stephanus ἐπειδὰν δὲ vel δεῖ δὲ, ἐπειδὰν conjecit. Codex Pariſ. B. ἐπιδὰν λάβῃ habet. Deinceps ὑπερφορεῖν Edd. pr. excepta Caſtal. Deinceps ἕξει δὲ ἢ—ὑπὸ τῶν τοιούτων Vratiſl. Pariſ. B.

5. τοιαῦτα—προσιέναι] Pariſ. A. τὰ τοιαῦτα habet. Caſtal. Hal. Bryl. cum Vratiſl. et Pariſ. προσεῖναι. Ante τοιούτων Vrat. τῶν omittit.

6. μενεῖ γάρ] Ita cum Leoniceno Caſtalio: idem conjecit Stephanus. Vulgo erat μένει. Bryll. μένειν.

ἄδηλα] Portus vertit *deleantur*, Weiſke *obſcurentur ſub veſperam* interpretatur.

λειπομένη] Intellige ὥρα, reliquum diei tempus.

πομένη ἱκανὴ περιστήσασθαι. 7. Ἥκοντος δὲ τούτου, περιτείνειν αὐτῶν ἑκάστῳ τὰ δίκτυα τὸν αὐτὸν τρόπον, ὅνπερ ἐν τοῖς μελαγχειμοις, περιλαμβάνοντα ἐντὸς, πρὸς ὅτῳ ἂν ᾖ· καὶ, ἐπειδὰν ἑστηκότα ᾖ, προσελθόντα κινεῖν. 8. Ἐὰν δὲ ἐκκυλισθῇ ἐκ τῶν δικτύων, μεταθεῖν κατὰ τὰ ἴχνη· ὁ δὲ ἀφίξεται πρὸς ἕτερα τοιαῦτα χωρία, ἐὰν μὴ ἄρα ἐν αὐτῇ τῇ χιόνι πιέσῃ ἑαυτόν. Σκεψάμενον οὖν δεῖ, ὅπου ἂν ᾖ, περιΐστασθαι. Ἐὰν δὲ μὴ ὑπομένῃ, μεταθεῖν· ἁλώσεται γὰρ καὶ ἄνευ τῶν δικτύων· ταχὺ γὰρ ἀπαγορεύει, διὰ τὸ βάθος τῆς χιόνος, καὶ διὰ τὸ κάτωθεν τῶν ποδῶν λασίων ὄντων προσέχεσθαι αὐτῷ ὄγκον πολύν.

CAPUT IX.

De hinnulis et cervis venandis.

1. Ἐπὶ δὲ τοὺς νεβροὺς καὶ τὰς ἐλάφους κύνας εἶναι

7. Ἥκοντος δὲ τούτου] Leonicenus cum Brodæo interpretantur: *quod ubi acciderit.* Leunclavius: *quum ſatis temporis erit.* Zeune, probante Weiſkio: *ubi ita acciderit, ut plures indagati ſint lepores, nec ad plures inveſtigandos tempus diei ſuffecerit.* Equidem dubius adhuc hæreo in verbo ἥκοντος. Deinde περιλαμβάνοντας eſt in Pariſ. A. et Vratiſl.

8. ἐκκυλισθῇ] *aliquo ſpatio inter retia et venatores elapſus* Weiſke. *e retibus ſe expedierit* Zeune. Illa ratio non procedit; debebat enim eſſe διὰ τῶν δικτύων, vel μεταξύ. In Memor. i. 2. 22. eſt ἐκκυλισθέντας εἰς ἔρωτας. Pollux i. ſ. 198. habet ἵππον ἐκκυλίσαντα τὸν ἱππέα. Xenophon Cyrop. v. 3. 1. κατακυλίεσθαι ἀπὸ τῶν ἵππων dixit. Plutarchus de garrulit. c. xi. p. 110. Hutt. εἰς ἀγορὰν τοῦ διηγήματος ἐκκυλισθέντος, *cum narratio evulgata in forum perveniſſet.* Zeunianam rationem firmare videtur locus Æſchyli Prom. 87. ὅτῳ τρόπῳ ἐκκυλισθήσει τῆσδε τύχης. Contra ὠὰ ἐκκυλίνδων ἀετοῦ eſt ova nido ejiciens et devolvens apud Ariſtoph. Pacis verſu 134. Sequens ᾖ omittit Vratiſl. Pariſ. B.

ἀπαγορεύει] Ita Caſtalio dedit pro ἀπογορεύει Edd. pr. Pollux ſ. 50. διὰ μέντοι χιόνος ἐπιφανέστερα τὰ ἴχνη καὶ οὐ δυσζήτητα, ἀλλ' εὐαίρετος ὁ λαγὼς, καθότι καὶ τῇ δασύτητι τῶν ὑπὸ τοὺς πόδας αὐτοῦ τριχῶν ὄγκοι προσιζάνοντες τοῦ δρόμου τὴν ῥαστώνην ἐμποδίζουσι. Poſtea διὰ τοῦ κάτωθεν Vratiſl.

Cap. IX. 1. νεβροὺς] Index Zeunianus ex auctoritate veterum grammaticorum interpretatur *hinnulum, catulum cervæ.* Hanc interpretationem ſecutus Weiſke, in Præmonitis de Xenophontis Κυνηγετικῷ p. 231. ſect. 7. quærit, cur Xenophon caprearum mentionem ne verbo quidem fecerit, cum in Anabaſi v. 3. 10. memoraverit, ſe in agro Scilluntio venari ſolitum eſſe præter cervos et apros etiam δορκάδας. Nec dubitare licet in locis Homericis Il. xxii. 189. Odyſſ. iv. 336. ubi νεβρὸς ἐλάφοιο nominatur. Κεμὰς, quæ nominatur cum lepore in venatione Il. x. 361. alii genus cervi, alii capream, δορκάδα, interpretabantur, teſte Apollonio. Ex Scholiis ad Apollonii Argon. iv. 12. quæ exſcripſit Etymol. M. apparet, varia ætatum diſcrimina commentos eſſe grammaticos, et alios κεμάδα interpretatos τὴν ἐκ νεβρῶ μετα-

Ἰνδικάς· εἰσὶ γὰρ ἰσχυραὶ, μεγάλαι, ποδώκεις, οὐκ ἄψυχοι· ἔχουσαι δὲ ταῦτα, ἱκαναὶ γίγνονται πονεῖν. Τοὺς μὲν οὖν νεογνοὺς τῶν νεβρῶν τοῦ ἦρος θηρᾷν· ταύτην γὰρ τὴν ὥραν γίγνονται. 2. Κατασκέψασθαι δὲ πρότερον προελθόντα εἰς τὰς ὀργάδας, οὗ εἰσὶν ἔλαφοι πλεῖσται· ὅπου δ' ἂν ὦσιν, ἔχοντα τὸν κυναγωγὸν τὰς κύνας καὶ

βληθεῖσαν ἔλαφον, alios opinatos, κεμάδα esse τὴν ἐπικοιμωμένην τῷ σπηλαίῳ, contra νεβρὸν τὸν μείζονα καὶ ἐπὶ βορὰν νεμόμενον. Serior ætas κεμάδα a cervo distinxit, ut ex Æliano h. a. xiv. 14. xvii. 26. discimus. Ceterum τοὺς ἐλάφους—ποιεῖν dat Vratisl.

Ἰνδικάς] De his Aristoteles h. a. viii. 28. Ælianus viii. 1. Pollux v. f. 37. 38. 43.

νεογνοὺς] His leporum fœtibus teneris intra annum parcendum esse censuit supra cap. v. 14. Quidni sensum eundem servavit homo religiosus in hinnulis? Deinde τοῦ ἦρος pro τὸ ἦρος dedit Castal. primus.

2. ὀργάδας] *lucos* interpretatur Zeune. Infra x. 19. ἵστανται αἱ ἄρκυς ἐπὶ τὰς διαβάσεις τῶν ναπῶν εἰς τοὺς δρυμοὺς, τὰ ἄγκη, τὰ τραχέα, ἢ εἰσβολαὶ εἰς τὰς ὀργάδας καὶ τὰ ἕλη καὶ τὰ ὕδατα. Weiske utrobique *loca herbida* interpretatur, *silvis spissis undique inclusa et tecta*, ex Hesychio, qui: ὀργὰς, λοχμῶδες καὶ ὀρεινὸν χωρίον καὶ ἀνέργαστον. Verum Timæus, ὀργὰς, inquit, ἡ εὔγειος καὶ λιπαρὰ καὶ ἀκμαία γῆ. Callimachus apud Etymolog. M. τὴν μελάγγειον καὶ ἔνυδρον γῆν. Helladius Chrestom. p. 19. ὀργὰς μὲν κοινῶς πᾶσα ἡ γῆ, ὅση ἐπιτηδεία πρὸς καρπῶν γονάς. Phrynichus MS. apud Ruhnkenium ad Timæum p. 180. ὀργὰς—γῆ ἑλώδης καὶ ἔνυγρος. Cum Hesychio Harpocration: ὀργὰς, τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα. Cum Timæo Suidas: ὀργὰς, ἡ εὔγειος καὶ σύμφυτος καὶ λιπαρὰ καὶ ἀκμαία γῆ. Scholiastes Apollonii ad i. 920. ὀργάδες, οἱ σύμφυτοι τόποι καὶ ὑγροί. Euripides Electræ versu 1163. cum ξυλόχῳ facit synonymum: ὀρεία τις ὡς λέαιν' ὀργάδων δρύοχα νεμομένα. Idem Bacch. 340. Actæonem refert laceratum a canibus, quod superiorem se jactaret Diana in venando ἐν ὀργάσιν. Bacchas vagantes πρὸς ὀργάδας habet versu 445. Auctor Rhesi versu 282. Ἴδης ὀργάδας nominat. Pollux v. f. 14. inter loca venationi idonea nominat deinceps ἕλη, ὀργάδες, πεδία, ἄρουραι. Dionysius Archæol. i. p. 93. ed. Reiskii ὀργάδα nominat, ubi pascua interpretatur H. Valesius ad Harpocrationem. Tam variæ vocabuli interpretationes exortæ sunt partim ex etymologiæ studio, cum alii ab ὀργᾷν, quidam ab ἔργον derivarent; sed aliquid turbarum accessit etiam ex recordatione terræ inter Megarenses et Athenienses controversæ et Cereri cum Proserpina consecratæ, quam ἱερὰν γῆν Thucydides i. 139. ἱερὰν ὀργάδα Plutarchus in Pericle p. 650. ed. Reiskii vocat. Hujus ἐπεργασίαν Megarensibus in crimine objiciebant Athenienses et belli causam prætexebant. Caput disputationis est in loco Thucydidis, ubi τῆς γῆς τῆς ἱερᾶς καὶ τῆς ἀορίστου nunc legitur; sed Codices optimi ἀρίστου, *terræ optimæ*, habent. Ex qua varietate scripturæ ortum habuisse videtur dissensus grammaticorum in vocabuli interpretatione. εὐάροτος ὀργὰς est in Analectis iii. p. 44. no. 30. ποιμενίαν ἀν' ὀργάδα est in Analectis ii. p. 276. no. 2. Clemens Alex. Pædag. iii. p. 252. jungit προτεμενίσματα, ἄλση καὶ ὀργάδας. Heliodorus x. p. 391. τὴν ἀφιερωμένην τοῖς πατρίοις θεοῖς Ἡλίῳ καὶ Σελήνῃ καὶ Διονύσῳ πρὸ τοῦ ἄστεος ὀργάδα nominat, quam doctissimus *Coray* putat eandem esse, quam Herodotus iii. 18. τράπεζαν ἡλίου vocat, λειμῶνα interpretatus. In Xenophonte non dubium est intelligi loca vel herbida vel culta, proxima sylvis, quæ cervi noctu depasci solent. Ceterum Aldina et Codex Paris. A. τοὺς ὀργάδας habet, προσελθόντα Vrat. Paris. B.

πλεῖσται] Ita cum Juntina Zeune; πλεῖστοι cum Aldina Stephanus ceterique Editores.

ἀκόντια, πρὸ ἡμέρας ἐλθόντα εἰς τὸν τόπον τοῦτον, τὰς μὲν κύνας δῆσαι ἄποθεν ἐκ τῆς ὕλης, ὅπως μὴ, ἂν ἴδωσι τὰς ἐλάφους, ὑλακτῶσιν· αὐτὸν δὲ σκοπιωρεῖσθαι. 3. Ἅμα δὲ τῇ ἡμέρᾳ ὄψεται ἀγούσας τοὺς νεβροὺς πρὸς τὸν τόπον, οὗ ἂν μέλλῃ ἑκάστη τὸν ἑαυτῆς εὐνάσειν. Κατακλίνασαι δὲ, καὶ γάλα δοῦσαι, καὶ διασκεψάμεναι, μὴ ὁρῶνται ὑπό τινος, φυλάσσει τὸν ἑαυτῆς ἑκάστη, ἀπελθοῦσα εἰς τὸ ἀντιπέρας. 4. Ἰδόντα δὲ ταῦτα τὰς μὲν κύνας λῦσαι, αὐτὸν δὲ λαβόντα ἀκόντια προϊέναι ἐπὶ τὸν νεβρὸν τὸν πρῶτον, ὅπου εἶδεν εὐνασθέντα, τῶν τόπων ἐνθυμούμενον, ὅπως μὴ διαμαρτήσεται· πολὺ γὰρ ἀλλοιοῦνται τῇ ὄψει ἐγγὺς προσιόντι, ἢ οἷοι πόρρωθεν ἔδοξαν εἶναι. 5. Ἐπειδὰν δὲ ἴδῃ αὐτὸν, προσιέναι ἐγγύς. Ὁ δὲ ἕξει ἀτρέμα, πιέσας ὡς ἐπὶ γῆν, καὶ ἐάσει ἀνελέσθαι (ἐὰν μὴ ἐφυσμένος ᾖ) βοῶν μέγα. Τούτου δὲ γενομένου, οὐ μενεῖ· ταχὺ γὰρ τὸ ὑγρὸν, ὃ ἔχει ἐν ἑαυτῷ, ὑπὸ τοῦ ψυχροῦ

3. *εὐνάσειν*] Formam inauditam antiquæ Græciæ ex Edd. pr. revocavit Zeune et ſervavit Weiſke, *εὐνάσκειν*, quam recte jam olim Conr. Geſner corrigendam cenſuit ita, uti fecit Stephanus, firmante Pariſ. B. Cererum recte Weiſke comparavit locum Ariſtotelis h. a. ix. 5. de cervo: *ἄγει τὰ τέκνα ἐπὶ τοὺς σταθμοὺς, ἐθίζουσα οὗ δεῖ ποιεῖσθαι τὰς ἀποφυγάς· ἔστι δὲ τοῦτο πέτρα ἀποῤῥὼξ μίαν ἔχουσα εἴσοδον.*—Paulo antea δὲ omittit Codex Pariſ. A.

Κατακλίνασαι] Pollux v. ſ. 77. *ἡ μὲν μήτηρ ἑαυτὴν καταβαλοῦσα θηλάζει τὸ βρέφος· ὁ δὲ πατὴρ ἄποθεν φυλάττει καὶ πρὸς τὸν προσελθόντα ὑπερμαχεῖ.* quæ aliunde ducta eſſe apparet. Deinceps *αὐτῆς ἑκάστη* Aldina, Junt. *αὐτῆς ἑκάστη* ceteræ ante Stephanum. *ἑαυτῆς* e Vratiſl. dedi.

4. *αὐτὸν δὲ*] In Codice Pariſ. A. δὲ omiſſum eſt: male. *αὐτὸν δὲ τὸν λαβόντα* Vrat. Pariſ. B. Deinde *διαμαςήσηται* Pariſ. B.

πολὺ—ἢ οἷοι] Stephanus male *πολλοὶ*, ſed recte *οἷοι* pro vulgato antea *οἳ* dedit, quod ineptiſſime defendit Zeune. *οἷοι* jam olim Conr. Geſner ſcribi voluit. *ἀλιοῦνται* Junt. Ald. Hal. *ἁλιοῦνται* Bryl. 1. *ἀλλιοῦνται* Bryl. 3. Verum dedit Caſtal. et Stephanus. Ad *οἷοι* intellige *οἱ τόποι.*

5. *πιέσας ὡς ἐπὶ γῆν*] Neutraliter dictum pro *πτήσσειν, πτώσσειν.*

ἐφυσμένος] Antiquam lectionem, etiam in Codice Pariſ. utroque et in Vrat. repertam, temere Zeune Brodæi conjecturæ *ἐψυγμένος* poſthabuit, quam jam olim Conr. Geſner damnaverat: et ſequens *ὑγρὸν*, quod ineptiſſime Zeune *lac* interpretatur, firmat *ἐφυσμένος*, *imbre madidus*, uti vertit Geſner. *imbre perfuſus* Leonicenus. Pro *ταχὺ* Leonicenus *tum* vertit.

τὸ ὑγρὸν — συνιστάμενον] Lactis a frigore coagulati ſenſum ingratum exagitantemque cauſatur Weiſke Zeunium ſecutus, qui *ὑγρὸν* de lacte interpretatur. Equidem humores omnes qui corpori inſunt, frigore imbris veluti condenſatos intelligi puto, quibus timorem hinnuli, a frigiditate ſanguinis repetitum ab Ariſtotele et aliis, augeri cenſet Xenophon. Cf. Ariſtot. de Part. Anim. i. 4.

συνιστάμενον, ποιεῖ ἀποχωρεῖν αὐτόν. 6. Ἁλώσεται δὲ ὑπὸ τῶν κυνῶν σὺν πόνῳ διωκόμενος· λαβόντα δὲ δοῦναι τῷ ἀρκυωρῷ· ὁ δὲ βοήσεται· ἡ δ' ἔλαφος τὰ μὲν ἰδοῦσα, τὰ δ' ἀκούσασα, ἐπιδραμεῖται τῷ ἔχοντι αὐτὸν, ζητοῦσα ἀφελέσθαι. 7. Ἐν δὲ τούτῳ τῷ καιρῷ ἐγκελεύειν ταῖς κυσὶ, καὶ χρῆσθαι τοῖς ἀκοντίοις. Κρατήσαντα δὲ τούτου, πορεύεσθαι καὶ ἐπὶ τοὺς ἄλλους, καὶ τῷ αὐτῷ εἴδει πρὸς αὐτοὺς χρῆσθαι τῆς θήρας. 8. Καὶ οἱ μὲν νέοι τῶν νεβρῶν οὕτως ἁλίσκονται· οἱ δὲ ἤδη μεγάλοι, χαλεπῶς· νέμονται γὰρ μετὰ τῶν μητέρων καὶ ἑτέρων ἐλάφων· καὶ ἀποχωροῦσιν, ὅταν διώκωνται, ἐν μέσαις, ὁτὲ δὲ πρόσθεν, ἐν δὲ τῷ ὄπισθεν ὀλιγάκις. 9. Αἱ δ' ἔλαφοι τὰς κύνας, ὑπὲρ αὐτῶν ἀμυνόμεναι, καταπατοῦσιν· ὥστ' οὐκ εὐάλωτοί εἰσιν, ἐὰν μὴ προσμίξας τις εὐθὺς διασκεδάσῃ αὐτὰς ἀπ' ἀλλήλων, ὥστε μονωθῆναι τινὰ αὐτῶν. 10. Βιασθεῖσαι δὲ τοῦτο, τὸν μὲν πρῶτον δρόμον αἱ κύνες ἀπολείπονται· ἥ τε γὰρ ἀπουσία τῶν ἐλάφων ποιεῖ αὐτὸν περίφοβον, τό τε τάχος οὐδενὶ ἐοικός ἐστι τῶν τηλικούτων νεβρῶν· δευτέρῳ δὲ καὶ τρίτῳ δρόμῳ ταχὺ ἁλίσκονται· τὰ γὰρ σώματα αὐτῶν, διὰ τὸ ἔτι νεαρὰ εἶναι, τῷ πόνῳ οὐ δύνανται ἀντέχειν. 11. Ἵστανται δὲ καὶ ποδοστράβαι ταῖς ἐλάφοις ἐν τοῖς ὄρεσι, περὶ τοὺς λειμῶνας καὶ τὰ ῥεῖθρα, καὶ τὰς νάπας ἐν ταῖς διόδοις, καὶ τοῖς ἔργοις, πρὸς ὅ τι ἂν προσίῃ.

6. Ἁλώσεται δὲ ὑπὸ] Vratifl. καὶ interferit, et ὁ δὲ βοήσεται omittit cum Parif. B.

7. καὶ τῷ αὐτῷ] Caftal. Bryll. καὶ σὺν τῷ αὐτῷ. Equidem articulum τοὺς ante αὐτοὺς auctore Vrat. et Parif. B. fuftuli. Refertur enim αὐτοὺς ad antecedens τοὺς ἄλλους.

8. ὁτὲ δὲ] Vulgatum ὅτε δὲ correxi. Stephanus ὁτὲ μὲν ἐν μέσαις maluit fcribi. Deinde τὸ ὄπισθεν Edd. pr. præter Caftal.

9. καταπατοῦσιν] Leonicenus *proterunt*, Weifke *calcibus proturbant.*

10. Βιασθεῖσαι] Violentam Leunclavii emendationem : τινὰ αὐτῶν βίᾳ. Θέοντος δὲ τούτου merito contemfe-runt ceteri Interpretes. Pollux v. f. 78. καὶ τὸν μὲν νεβρὸν εἰ δυνηθείης ἀπελάσας ἀπὸ τῶν γονέων κυνοδραμῆσαι, τὸν μὲν πρῶτον δρόμον ἀπολείψει σὺ καὶ αἱ κύνες, ἐν δὲ τοῖς ἐφεξῆς ἀπαγορεύουσιν ἄρα οἱ νεβροί. Sequens ἐοικὸς debetur Leunclavio pro vulgato ante Zeunium εἰκὸς, quod eft etiam in Parif. A. B. Denique δύναντ' ἴχειν habet Parif. B.

12. Χρὴ δὲ εἶναι τὰς ποδοστράβας σμίλακος πεπλεγμένας, μὴ περιφλοίους, ἵνα μὴ σήπωνται, τὰς δὲ στεφάνας

τὶς τὸν νοῦν τὰς ἀγεννεῖς τε καὶ βραδείας ἀποκρίνοι αὐτῶν. 2. Πρῶτα μὲν δὴ μακραὶ ἔστωσαν ἀπὸ κεφαλῆς ἐπ' οὐράν· ἐν γὰρ οὐδὲν οὕτω τεκμήριον ἐς ὠκύτητά τε καὶ γενναιότητα εὕροις ἂν ἐπιλεγόμενος ταὐτὸν ἐπὶ πάσῃ ἰδέᾳ κυνὸς, ὡς τὸ μῆκος· καὶ τοὐναντίον, τὴν βραχύτητα, ἐς τὸ βραδὺ καὶ ἀγενές· ὥστε ἤδη ἔγωγε ἰδὼν πολλὰ ἄλλα κακὰ ἐχούσας κύνας, ὅτι δὲ μακραὶ ἐτύγχανον, ὠκεῖαι ἦσαν καὶ θυμοειδεῖς. 3. Καὶ μὴν καὶ αἱ μείζονες, εἰ τὰ ἄλλα ὅμοιαι τύχοιεν, κατ' αὐτὸ τὸ μέγεθος εὐφυέστεραι τῶν σμικρῶν. Φαῦλαι δὲ τῶν μεγάλων, ὅσαι τὰ μέλη ἀπαγεῖς καὶ ἀξύμμετροι· ὥστε φαυλότεραι ἂν εἶεν οὕτω γε ἔχουσαι τῶν σμικρῶν, εἰ τὰ ἄλλα κακὰ ἴσα προσείη αὐταῖς. 4. Ἐχέτωσαν δὲ τὰς κεφαλὰς ἐλαφρὰς καὶ ἀρθρώδεις· εἰ δὲ γρυπαὶ ἢ σιμαὶ εἶεν, οὐ παρὰ μέγα διοίσει τοῦτο· οὐδ' εἰ τὰ ὑπὸ τοῖς μετώποις ἰνώδη ἔχοιεν, οὐδὲ τοῦτο ἐν μεγάλῳ ποιητέον· ἀλλ' αἱ βαρυκέφαλοι μόνον πονηροὶ, καὶ ὅσαι παχέα τὰ ῥύγχη, καὶ μὴ ἐς ὀξὺ ἀλλὰ ἀθρόως ἀπολήγοντα. Καὶ αὗται οὖν εὐκέφαλοι. 5. Τὰ δὲ ὄμματα ἔστω μεγάλα, μετέωρα, καθαρὰ, λαμπρὰ, ἐκπλήττοντα τὸν θεώμενον· καὶ κράτιστα μὲν τὰ πυρωπὰ καὶ ὑπεραστράπτοντα, οἷα παρδάλεων ἢ λεόντων ἢ λυγκῶν· δεύτερα ἐπὶ τούτοις τὰ μέλανα, εἰ τύχοι ἀναπεπταμένα τε καὶ γοργὰ ἰδεῖν· τρίτα δὲ τὰ χαροπά· οὐδὲ γὰρ οὐδὲ τὰ χαροπὰ φαῦλά ἐστιν, οὐδὲ φαύλων κυνῶν ξύμβολα, εἰ καὶ ταῦτα τύχοι καθαρὰ καὶ γοργὰ ἰδεῖν.

Cap. IV. 2. ἰδὼν—ὠκεῖαι ἦσαν] Deesse verba aliquot videntur, veluti ἀνεγνώριστα ὅτι vel similia.

3. ἀξύμμετροι· ὥστε] Blancardi emendationem recepit Zeune in locum vulgati ἀξυμμέτρωστι· φαυλότεραι.

4. εἰ δὲ γρυπαὶ] In hoc dissentit a Xenophonte iii. 2. et iv. 1.

5. χαροπά] Vulgatum χαρωπὰ correxit Zeune. Disputat Arrianus contra Xenophontem iii. 2. 3. Sequens τύχοι substitui vulgato τύχῃ admonitu Zeunii.

CAPUT V.

Περὶ τῆς τοῦ συγγραφέως κυνὸς, ὁποῖά ποτ' ἦν.

1. Ἐπεί τοι ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν, οἵαν χαροπωτάτην· καὶ αὕτη ὠκεῖά τε ἦν καὶ φιλόπονος καὶ εὔψυχος καὶ εὔπους· ὥστε καὶ τέτταρσιν ἤδη ποτὲ λαγωοῖς ἐφ' ἡλικίας ἀντήρκησεν. 2. Καὶ τὰ ἄλλα δὲ πρᾳοτάτη τέ ἐστιν, (ἔτι γάρ μοι ἦν, ὁπότε ταῦτα ἔγραφον·) καὶ φιλανθρωποτάτη· καὶ οὔπω πρόσθεν ἄλλη κύων, ὡς αὐτὴ, οὔτε ἐμὲ ἐπόθησεν, οὔτε τὸν ἑταῖρον τὸν ἐμὸν καὶ σύνθηρον τὸν Μέγιλλον· ἐπειδὴ γὰρ τοῦ δρόμου ἀπεπαύσατο, οὐκ ἔτι ἡμῶν γε, ἢ θατέρου ἀπαλλάττεται. 3. Ἀλλὰ εἰ μὲν ἐγὼ ἔνδον εἴην, ἅμα ἐμοὶ διατρίβει, καὶ προϊόντα ποι παραπέμπει, καὶ ἐπὶ γυμνάσιον ἰόντι ἐφομαρτεῖ, καὶ γυμναζομένῳ παρακάθηται, καὶ ἐπανιόντος πρόεισι, θαμινὰ ἐπιστρεφομένη, ὡς καταμανθάνειν, μή πη ἄρα ἐξετράπην τῆς ὁδοῦ· ἰδοῦσα δὲ καὶ ἐπιμειδιάσασα, αὖθις αὖ πρόεισιν. 4. Εἰ δὲ ἐπί τι ἔργον πολιτικὸν ἴοιμι, ἥδε τῷ ἑταίρῳ τῷ ἐμῷ ξύνεστι, καὶ πρὸς ἐκεῖνον τὰ αὐτὰ ταῦτα δρᾷ· ὁπότερος δὲ ἡμῶν κάμνοι τὸ σῶμα, ἐκείνου αὖ οὐκ ἀπαλλάττεται· εἰ δὲ καὶ δι' ὀλίγου χρόνου ἴδοι, ἐπιπηδᾷ ἀτρέμα, ὥσπερ ἀσπαζομένη· καὶ τῷ ἀσπασμῷ ἐπιφθέγγεται, οἷα φιλοφρονουμένη· καὶ δειπνοῦντι ξυνοῦσα συνάπτεται ἄλλοτε ἄλλῳ τοῖν ποδοῖν, ὑπομιμνήσκουσα, ὅτι καὶ αὐτῇ ἄρα μεταδοτέον εἴη τῶν σιτίων· καὶ μὴν πολύφθογγός ἐστιν, ὡς οὔπω ἐγὼ ἰδεῖν μοι δοκῶ ἄλλην κύνα· καὶ ὅσων δεῖται, τῇ φωνῇ σημαίνει. 5. Καὶ ὅτι σκυλακευομένη μάστιγι

Cap. V. 1. ἐφ' ἡλικίας] dum vigebat ætate et viribus.

2. ἐπειδὰν — ἀπεπαύσατο] Hoc uno in loco intactum ἐπειδὰν reliquit, qui ceteris in locis mutavit Zeune.

ἡμῶν γε, ἢ θατέρου] Scribendum censeo ἡμῶν ἢ θατέρου γε.

ἐκολάζετο, εἴ τις εἰς τοῦτο ἔτι μάστιγα ὀνομάσειε, πρόσεισι τῷ ὀνομάσαντι, καὶ ὑποπτήξασα λιπαρεῖ, καὶ τὸ στόμα ἐφαρμόζει τῷ στόματι ὡς φιλοῦσα, καὶ ἐπιπηδήσασα ἐκκρέμαται τοῦ αὐχένος, καὶ οὐ πρόσθεν ἀνίησι, πρὶν τῆς ἀπειλῆς ἀποπαῦσαι τὸν θυμούμενον. 6. Ὥστε οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τὸ ὄνομα ἀναγράψαι τῆς κυνὸς, ὡς καὶ ἐς ὕστερον ἀπολελεῖφθαι αὐτῆς, ὅτι ἦν ἄρα Ξενοφῶντι τῷ Ἀθηναίῳ κύων, Ὁρμὴ ὄνομα, ὠκυτάτη καὶ σοφωτάτη καὶ ἱερωτάτη. 7. Ὦτα δὲ μεγάλα ἔστω ταῖς κυσὶ καὶ μαλθακὰ, ὥστε ὑπὸ μεγέθους καὶ μαλακότητος ἐπικεκλασμένα φαίνοιτο· οὕτως ἂν εἴη κράτιστα. Οὐ μέντοι ἀλλὰ καὶ εἰ ὀρθὰ φαίνοιτο, οὐ πονηρὸν, εἰ μὴ σμικρά τε εἴη καὶ σκληρά. 8. Τράχηλος δὲ μακρός τε ἔστω, καὶ περιφερὴς, καὶ ὑγρός· ὥστε, εἰ ἀντιτείνοις ἀπὸ τῶν δεραίων τὰς κύνας ἐς τοὐπίσω, ἐπικλᾶσθαι δοκεῖν τὸν τράχηλον δι' ὑγρότητα καὶ μαλακότητα· στήθη τε πλατέα ἀμείνω τῶν στενῶν. 9. Καὶ τὰς ὠμοπλάτας διεστώσας ἐχέτωσαν, καὶ μὴ ξυμπεπηγυίας, ἀλλ' ὡς οἷόν τε λελυμένας ἀπ' ἀλλήλων· σκέλη στρογγύλα, ὀρθὰ, εὐπαγῆ· πλευρὰς γενναίας· ὀσφὺν πλατεῖαν, ἰσχυρὰν, μὴ σαρκώδη, ἀλλὰ νεύροις πεπηγυῖαν· λαγόνας ἀνειμένας· ἰσχία μὴ συνδεδεμένα· κενεῶνας λαγαρούς· οὐρὰς λεπτὰς, μακρὰς, δασείας τὴν τρίχα, ὑγρὰς, εὐκαμπεῖς, τὸ ἄκρον τῆς οὐρᾶς δασύτερον· ὑποκώλια μακρὰ, εὐπαγῆ. 10. Σκέλη δὲ εἰ μὲν τὰ ὀπίσθια ἔχοι μείζω τῶν ἔμπροσθεν, τὰ ὄρθια ἂν μεταθέοι ἄμεινον· εἰ δὲ τὰ ἔμπροσθεν τῶν ὀπισθίων, τὰ κατάντη· εἰ

5. τις τοῦτο] *etiamnunc?*

6. Ξενοφῶντι τῷ Ἀθηναίῳ] De ſe ipſo loquitur Arrianus, qui fuit patria Nicomedienſis Bithynus, civitate Athenienſis, cognomine Flavii et νέου Ξενοφῶντος.

8. δεραίων] Vulgo erat δέρεων. Cf. Xenoph. iv. 1.

9. ξυμπεπηγυίας] Ex Codice Blancardi et Pariſ. vulgatum ξυμπεπληγυίας correxit Zeune.

πεπηγυῖαν] Ita Codex Blancardi et Pariſ. teſte Baſt. Epitre p. 53. Ante Zeunium erat πεπληγυῖαν.

δ' ἴσα εἴη ἄμφω, τὰ πεδία. Ἐπεὶ δὲ χαλεπώτερον ἐν ὀρθίῳ μὴ ἡττηθῆναι λαγῷ, ὅτι καὶ ὁ λαγὼς τὰ ὄρθια θεῖ ἄμεινον, ἐκεῖναι δοκοῦσι γενναιότεραι αἱ κύνες, ὅσαι τὰ ὄπισθεν μείζονα ἔχουσι τῶν ἔμπροσθεν· πόδες δὲ οἱ περιφερεῖς καὶ στεῤῥοὶ κράτιστοι.

CAPUT VI.

Περὶ χρωμάτων, καὶ, ὡς ἂν ἔχωσι ταῦτα, ὅτι ἀδιάφορον.

1. Τὰ δὲ χρώματα οὐδὲν διοίσει ὁποῖα ἂν ἔχωσιν· οὐδ' εἰ παντελῶς εἶεν μέλαιναι ἢ πυῤῥαὶ ἢ λευκαί· καὶ οὐδὲ τὸ ἁπλοῦν χρὴ ὑποπτεύειν τῆς χρόας ὡς θηριῶδες· ἀλλὰ τὰ ὄντα ἔστω στιλπνὰ καὶ καθαρά· καὶ ἡ θρὶξ, εἴτε οὖν τοῦ δασέος γένους, εἴτε τοῦ ψιλοῦ τύχοιεν οἱ κύνες, λεπτὴ ἔστω καὶ πυκνὴ καὶ μαλθακή. 2. Κράτιστοι δὲ ἄῤῥενες μὲν, ὅσοι μεγάλοι τε καὶ εὐπαγεῖς ὄντες, ὑπὸ ὑγρότητος θηλείαις ἐοίκασι· θήλειαι δὲ, ὅσαι διὰ τὸ γενναῖον καὶ μυῶδες τοῦ σώματος ἄῤῥεσι. 3. Τοῦ μὲν δὴ σώματος ταῦτά τις ἂν δοκεῖ μοι ἐπισκοπῶν ἀποχρῶντα τεκμήρια ποιεῖσθαι εἰς γενναιότητα, καὶ τὰ ἐναντία τοῦ ἐναντίου.

CAPUT VII.

Περὶ τῆς γνώμης τῶν κυνῶν, ὁποῖα ταύτης τὰ σημεῖα.

1. Οὐ μείονα δὲ καὶ ἡ γνώμη τῶν κυνῶν ἐς ἑκάτερα τεκμηριοῦσθαι παρέξει τῷ ὡς χρὴ ὁρῶντι. Αὐτίκα ὅσαι σκυθρωπαὶ κύνες πρὸς ἅπαντας, οὐ γενναῖαι· εἰ δὲ ἔστιν ἃς εὕροις ἂν πρὸς μὲν τοὺς ἀγνῶτας χαλεπὰς, τῷ δὲ ἀνατρέφοντι προσφιλεῖς, καὶ τοῦτο ἀγαθὸν μᾶλλον ἢ

Cap. VI. 1. χρώματα] Compara Xenoph. iv. 7.

καὶ ἡ θρὶξ] Synesius Laud. Calvit. p. 67. ἐκεῖναι σοφώταται τῶν κυνῶν, ὧν ὦτα καὶ γαστέρες ψιλαί· αἱ λάσιοι δὲ ἔμπληκτοι καὶ θρασεῖαι καὶ βελτίους εἰσὶν ἀπουσαι τῆς θήρας, quasi ex venatorum obſervatione tradit.

κακόν. 2. Ἤδη δὲ ἔγνων κύνα, ἥτις οἴκοι μὲν κατηφὴς ἦν, καὶ οὐδενὶ τῶν πλησιαζόντων ἔχαιρεν· ἐπὶ θήραν δὲ ἐξαγομένη ὑπερευφραίνετο, καὶ παντὶ τῷ προσελθόντι προσμειδιῶσα καὶ προσσαίνουσα διεδήλου, ὅτι ἀνιᾶται οἴκοι μένουσα. Καὶ τοῦτο ἀγαθόν. 3. Κράτισται δὲ αἱ φιλανθρωπόταται, καὶ ὅσαις οὐκ ἔστι ξένον ὄψις ἀνθρώπου οὐδενός· ὅσαι δὲ ἀνθρώπους δεδίασι, καὶ ὑπὸ ψόφου ἐκπλήττονται, καὶ θορυβώδεις εἰσὶ, καὶ ἐπὶ πολλὰ καὶ εἰκῆ κινοῦνται, καὶ ταῦτα ἀλόγιστά ἐστι καὶ οὐκ ἔμφρονα· καθάπερ ἄνθρωποι, εἰ δειλοὶ, καὶ ἔκφρονες, οὕτω δὲ καὶ αἱ κύνες αἱ τοιαῦται οὔποτε ἂν εἶεν γενναῖαι. 4. Κακαὶ δὲ καὶ ὅσαι λυθεῖσαι τοῦ δεσμοῦ ἐν χωρίῳ οὐκ ἐπανίασιν ἐπὶ τὸν ἄγοντα καλούμεναι, ἀλλ' ἀποσκιρτῶσι· καὶ ἢν μὲν πρᾴως μετακαλῇς, καταφρονοῦσιν· ἢν δὲ σὺν ἀπειλῇ, δειμαίνουσαι οὐ προσίασιν. 5. Ἀλλὰ χρὴ ἀποσκιρτήσασαν τὴν κύνα καὶ περιδραμοῦσαν ἐπανιέναι ἐπὶ τὸν κυναγωγὸν, εἰ καὶ μὴ καλοίη αὐτὸς, σημαίνουσαν ὅτι οἵα τε ὑπακούειν, εἰ ἤδη ἐθέλει· ἔτι δὲ, εἰ μὴ λαμβάνοιτο, πάλιν αὖ ἀποσκιρτάτω, καὶ πάλιν ἐπανίτω. 6. Πεπαιδευμέναι δὲ, ὅσαι φθεγξαμένου τοῦ κυναγωγοῦ ὑποκατακλίνονται, μὴ ὑπὸ δέους, ἀλλὰ φιλοφρονούμεναι τὸν τροφέα καὶ τιμῶσαι, καθάπερ οἱ προσκυνοῦντες Μέγαν Βασιλέα· οὐδὲ τὸ ἵστασθαι δὲ ἐν πεδίῳ λυθεῖσαν κύνα ἀγαθὸν, εἰ μὴ πρεσβυτέρα τύχοι· ὄκνον γὰρ σημαίνει. 7. Ταῖς δὲ γενναιοτάταις καὶ ἐπισκύνιον πρόσεστι, καὶ σοβαραὶ φαίνονται· καὶ τὸ βάδισμα κοῦφον καὶ πυκνὸν καὶ ἁβρόν· καὶ μεταβάλλουσι

Cap. VII. 2. ἀνιᾶται Præſens tempus reliquis verbis convenire non videtur.

3. καὶ ταῦτα—ἔμφρονα] Hæc verba quomodo reliquis jungi debeant et ſententiæ conveniant, nondum conjicere potui.

6. Πεπαιδευμέναι δὲ] Intellige εἰσὶ, bene educati et inſtituti ſunt canes, quicunque.—Sed vitium ſubeſſe ſuſpicor.

7. ἁβρόν] Lectionem Codicis Pariſ.

τὰς πλευρὰς, καὶ τὸν τράχηλον ἀνατείνουσι, καθάπερ οἱ ἵπποι, ἐπειδὰν λαμπρύνωσιν.

CAPUT VIII.

Περὶ τοῦ, πῶς διαγνωστέον ἀπὸ τοῦ ἐσθίειν τὴν ποιότητα τῶν κυνῶν.

1 Ἐσθίουσι δὲ αἱ μὲν λάβρως, αἱ δὲ κοσμίως· καὶ τὸ κόσμιον γενναιότερον τοῦ ἀκόσμου. 2. Ἀγαθαὶ δὲ, ὅσαι μὴ κακόσιτοι, ἀλλ' ἄρτῳ ἢ μάζῃ χαίρουσι· κράτιστον γὰρ κυσὶ τοῦτο σιτίον· καὶ οὐ δέος, μὴ ὑπερεμπλησθεῖεν ὑπ' αὐτοῦ. Ἄμεινον δὲ εἰ καὶ ξηρᾷ τῇ τροφῇ χαίροιεν· εἰ δὲ καὶ ὕδατι καταβρέχοις, καὶ τούτῳ χαίροιεν, οὐ κακόν. 3. Καμούσῃ δὲ ἐμβάλλειν ἢ ὕδωρ ἀπὸ κρέως λιπαροῦ, ἢ βοὸς ἧπαρ ἐν σποδιᾷ θερμῇ φρύξαντα, ἔπειτα τρίψαντα καθάπερ ἄλφιτα ἐπιπάττειν. 4. Καὶ ταῖς γε σκυλακευομέναις ἀγαθὸν τοῦτο ἐς τὸ πῆξαι τὰ μέλη, ἐπειδὰν ἀποπαύσωνται τοῦ γάλακτος· τὸ γάλα δὲ σκυλακεῦσαι κράτιστον ἐς ἔννατον μῆνα καὶ πορρωτέρω· καὶ καμούσῃ δὲ καὶ μαλακιζομένῃ ἀγαθὸν καὶ πόμα καὶ σιτίον· ἀγαθὸν δὲ καὶ ἡ ἀσιτία καμνούσῃ.

CAPUT IX.

Περὶ τοῦ, μετὰ τίνων καὶ πῶς κοιταστέον τὰς κύνας.

1. Οὐδὲν δὲ οἷον εὐνὴ μαλθακὴ καὶ ἀλεεινή· κρατίστη

teste Bast. Epitre p. 234. substitui vulgatæ ἄκρον.

λαμπρύνωσιν] Xenophon γαυριᾶσθαι dixit de equo. Sed forma activa verbi suspecta mihi est. Malim λαμπρύνωνται. Confer locum Xenoph. de Equit. x. 1. ubi λαμπρύνειν τὸν ἵππον de hoc eodem equi gestu recte adhibetur.

Cap. VIII. 3. φρύξαντα—ἄλφιτα] Vulgatum ἀλφίτου in ἄλφιτον mutari voluit Blancard. Præceptum excerpsit Cynosophium p. 271. Κύνας μικροὺς εἰ βούλει θρέψαι, εἰ γάλα μὴ ἔχεις, πνεύμονα βοὸς καῦσον, καὶ τοῦτον τέφραν ποίει καὶ ἐπίπασσε τὴν βρῶσιν αὐτοῦ. Uti ἄλφιτα insperguntur aquæ, vino et potui, ita aquæ caniculæ præbendæ jubet inspergere pulverem tosti jecinoris bovilli. Cynosophium pro jecinore pulmonem nominat.

4. σκυλακευομέναις] Vulgatum σκυλευομέναις correxi quamquam Index Zeunianus ex h. l. σκυλεύεσθαι *adhuc catellum esse* posuerit.

δὲ ἡ μετ᾽ ἀνθρώπου, ὅτι καὶ φιλάνθρωποι ἀποτελοῦνται, καὶ τῷ χρωτὶ τῷ ἀνθρωπίνῳ χαίρουσι, καὶ φιλοῦσιν οὐ μεῖον τὸν συγκαθεύδοντα ἢ τὸν τρέφοντα. Καὶ τῶν λυπέντων τὴν κύνα τις αἰσθάνοιτο, ὡς διψώσῃ τε ἐν νυκτὶ ἐπικουρῆσαι, καὶ ἐπειγομένῃ ὑπό του τῶν ἀναγκαίων· γνοίη δ᾽ ἂν καὶ ὅπως ἀνεπαύσατο. Εἰ γὰρ ἀγρυπνήσειεν, ἐξάγειν ἐπὶ θήραν οὐκ ἀσφαλὲς, οὐδ᾽ εἰ ἐπιστάξειε θαμινὰ ἐν τῷ ὕπνῳ, οὐδ᾽ εἴ τι ἀπεμέσειε τῶν σιτίων· ταῦτα δὲ γνοίη ἂν ὁ συναναπαυόμενος. 2. Κακίστη δὲ κοίτη κυνῶν μετὰ κυνῶν· πολὺ πλέον, εἰ καὶ ἐπιψαύουσαι ἀλλήλων ἀναπαύοιντο· ὡς ἄνθρωπος μὲν συγκαθεύδων κυσὶν ἀφαιροῖτο χρωτὸς τὸ ἀνιαρόν· κύνες δὲ ἐν τῷ αὐτῷ ἀναπαυόμεναι, ὅ τι περ πονηρὸν τοῦ χρωτὸς, τῷ πλησιάζειν τε καὶ ἐκθερμαίνειν ἐπάξουσιν· ὥστε ψώρας ἐμπίπλασθαι τὸ πολὺ, ὁπότε ἐν ταὐτῷ ἀναπαύωνται. 3. Τούτου δὲ τὸ αἴτιον καὶ ἡ ὀδμὴ, ἐπειδὰν εἰσέλθῃς, οὗ κύνες πολλὰ ἀναπαύονται· οὕτως χαλεπή τέ ἐστι καὶ δριμεῖα.

CAPUT X.

Ὅτι ἡ τρῖψις τοῖς κυσὶν ὠφέλιμος, καὶ πῶς δεῖ ταύτας ἀποτρίβειν.

1. Μέγα δὲ ὄφελος κυνὶ καὶ τρῖψις τοῦ σώματος παντὸς, οὐ μεῖον ἢ ἵππῳ· τά τε γὰρ μέλη πῆξαι καὶ ῥῶσαι ἀγαθὴ, καὶ τὴν τρίχα μαλθακὴν ἐργάζεται καὶ τὴν χρόαν στιλπνὴν, καὶ τοῦ χρωτὸς ἀποκαθαίρει ὅ τι περ πονηρόν. 2. Τρίβειν δὲ τὰ μὲν νῶτα καὶ τὴν ὀσφὺν τῇ

Cap. IX. 1. κύνα τις] Excidit κύνα τάχιστ᾽ ἄν τις vel ſimile membrum.

ἐπιστάξειε] Zeune ἐπισφαδάζειε conjécit, quod de corporis jactatione dici monet ex Fœſii Œconomia Hippocratica. Certe vulgata lectio eſt vitioſa.

3. καὶ ἡ ὀδμὴ] Vitioſa hæc eſſe cenſeo. Nec enim odor poteſt eſſe cauſa ſcabiei, ſed potius arguit cauſam, nempe perſpirationem et exhalatos corporibus una concluſis malos et peſtilentes vapores. Puto igitur, verbum τεκμαίρεται vel ſimile excidiſſe.

δεξιᾷ, ὑποθέντα τὴν ἀριστερὰν τῇ λαγόνι, ὡς μὴ ἐπιθλιβομένην ἄνωθεν τὴν κύνα ὀκλάζουσαν κακοπαθεῖν. 3. Τὰς δὲ πλευρὰς ἑκατέρᾳ τῇ χειρὶ, καὶ τοὺς γλουτοὺς μέχρις ἄκρων ποδῶν, καὶ ὠμοπλάτας ὡσαύτως. 4. Ἐπεὶ δ' ἂν ἱκανῶς φαίνωνται ἔχειν, ἐπαίρειν τῆς οὐρᾶς λαβόμενον, καὶ ἀνατείναντα ἀφιέναι· ἡ δὲ διασείσεταί τε ἀφεθεῖσα, καὶ δήλη ἔσται, ὅτι ἠγάπησε τὸ πραχθέν.

CAPUT XI.

Ὅτι ἄμεινον δεδέσθαι τὰς κύνας, ἢ λελυμένας εἶναι.

1. Δεδέσθαι δὲ κύνα γενναίαν δι' ἡμέρας, ὥσπερ τι ἄλλο, ἀγαθόν· εἰ δὲ μὴ, ἀναγώγους ἀποτελεῖσθαι ἀνάγκη· καὶ εἴ ποτε ἄρα δεσμοῦ δεηθεῖεν, ἀσχάλλουσι, καὶ κλαυθμυρίζονται, καὶ ἀπεσθίουσι τοὺς ἱμάντας· ὥστε σιδήρου δεῖν ἐπ' αὐταῖς, καθάπερ ἐπὶ ἀνθρώποις τοῖς κακούργοις. 2. Καὶ ἐσθίειν δὲ ἀνάγκη λελυμένην κύνα πᾶν τὸ ἐμπεσόν· καὶ τὸ ἀκμαῖον τοῦ δρόμου ἀφαιρεῖται αὐτῶν ὁ δι' ἡμέρας περίπατος· ἀλλὰ χρὴ τεταγμένα μὲν περιπατεῖν, τὸ πολὺ δὲ ἀναπαύεσθαι.

CAPUT XII.

Περὶ τοῦ, ἐπὶ πόσον τῆς ἡμέρας προακτέον τὰς κύνας· καὶ πόσας, καὶ ποίας ἐν ταὐτῷ λυτέον.

1. Προάγειν δὲ τὰς κύνας τοὐλάχιστον τετράκις ἐπὶ τῇ ἡμέρᾳ ἐς ὁμαλὸν χωρίον καὶ καθαρόν· ἐνταῦθα ἀφιέναι τοῦ δεσμοῦ, τῶν τε ἀναγκαίων ἕνεκα, καὶ ἐς τὸ ἀποσκιρτᾷν καὶ διαθεῖν. 2. Εἰ δὲ ἀργοῦσαι ἀπὸ θήρας

Cap. X. 3. γλουτοὺς] Vulgatum γλωτοὺς a Zeunio in Indicem etiam relatum correxi. Deinceps καὶ τὰς ὠμοπλάτας malim ſcriptum.

4. Ἐπεὶ δ' ἂν] Vulgatum ἐπειδ' ἂν correxit Zeune; ſed male idem deinceps ἤδε διασείσεται ſcripſit.

Cap. XI. 1. ἀνάγκη· καὶ εἴ ποτε] Male hæc vulgo majore diſtinctione ſeparata leguntur: ἀνάγκη. Καὶ εἴ ποτε. Continuatur enim ratio, cur vinculis adſuefacere oporteat canes.

2. ἀναπαύεσθαι] Ante Zeunium erat ἀμπαύεσθαι.

τύχοιεν, καὶ πλεονάκις τ' αὐτὸ τοῦτο δρᾷν· καὶ δύο ἐπὶ δυοῖν ἐν τῷ αὐτῷ, ὥστε ἁμιλλωμένας καὶ παιζούσας ὁμοῦ μὲν εὐφραίνεσθαι, ὁμοῦ δὲ γυμνάζεσθαι. 3. Πολλὰς δὲ μὴ λύειν ἐν ταὐτῷ· ἐμπίπτουσαι γὰρ ἀλλήλαις ἔστιν ὅτε μεγάλα κακὰ ἐργάζονται. 4. Ἀλλὰ μηδὲ σκληρὰν κύνα καὶ πεπηγυῖαν ἅμα τῇ σκυλακευομένῃ λυέτω· βαρεῖα γὰρ αὕτη καὶ ἀνιαρὰ συμφέρεσθαι· καὶ διώκουσά τε αἱρεῖ, καὶ ἀποφεύγουσα ἀπολείπει εὐμαρῶς· ὥστε ἀθυμεῖν ἀνάγκη τὸ σκυλάκιον ἐν ἑκατέρῳ μεῖον φερόμενον. 5. Ἀλλὰ μηδὲ ὅσαι διεχθρεύουσιν ἀλλήλαις, μηδὲ ταύτας λύειν ὁμοῦ, ὡς μὴ λυμαίνοιντο ἀλλήλας· εἰσὶ γάρ τοι κύνες ἐχθραὶ ἀλλήλαις, καὶ ἄλλαι φίλαι, καθάπερ ἄνθρωποι· καὶ μάλιστα δὴ οἵ τε ἄῤῥενες τοῖς ἄῤῥεσι, καὶ αἱ θήλειαι ταῖς θηλείαις, τὸ πολὺ ὑπὸ φθόνου· καὶ οὐδὲ τούτων ἀμελῶς χρὴ ἔχειν.

CAPUT XIII.

Περὶ τοῦ, ποσάκις δεῖ ἐν χειμῶνι ἢ θέρει σιτεῖσθαι τὰς κύνας.

1. Καὶ δὴ χειμῶνος μὲν ὥρᾳ ἅπαξ σιτεῖσθαι τὰς κύνας ὀλίγον πρὸ τῆς ἑσπέρας· ἥ τε γὰρ ἡμέρα βραχεῖα, καὶ χρὴ γεγυμνάσθαι αὐτὰς, ὥστε, εἰ δέοι πόῤῥω τῆς ἡμέρας διαπονεῖσθαι ἐν θήρᾳ, τοῦ λιμοῦ ἀνέχεσθαι. 2. Θέρους δὲ ἀγαθὸν καὶ ἄρτου ὀλίγον δοῦναι ἐμφαγεῖν, ὡς μὴ ἀποκναίεσθαι ὑπὸ μήκους· καὶ γὰρ, εἰ διψήσειαν, ἀλυπότερον ἂν πίνοιεν ἐμφαγοῦσαι. Εἰ δὲ καὶ στέαρ

Cap. XII. 4. σκληρὰν] Sequens πεπηγυῖαν ſatis indicat, robuſtam et adultam intelligi. Ita Plutarchus in Ageſilao Eualcen ab Ageſilao dilectum μέγαν καὶ σκληρὸν vocat, quem Xenophon Hellenic. iv. 2. 40. μέγιστον τῶν παίδων.

5. εἰσὶ γάρ τοι κύνες] Poſtremum vocabulum ex Codice Pariſ. ſupplevit Baſt. Epitre p. 28. Idem ἄφιλοι reſtituit indidem pro vulgato ἄφιλαι. Sed oppoſita ratio poſtulat φίλαι, uti bene monuit Blancard, quem ſecutus ſum. ἄλλαι ἄλλαις φίλαι malebat Zeune.

Cap. XIII. 2. μήκους] Nempe τῆς ἡμέρας.

στέαρ ταριχευόμενον] Sevum vel adipem præſulſam interpretor. Adipem præſulſam liquamine etiam tinctam

ταριχευόμενον καθείης τῆς κυνὸς, ἀγαθὸν καὶ τοῦτο. 3. Εἰ δὲ μέγα τὸ καῦμα ἐπιφλέγοι, ὠὸν ἐμβαλόντα εἰς τὴν χεῖρα, καὶ ἀνατείνοντα τῆς κυνὸς τὸ στόμα καθιέναι, ὡς ἀθρόον καταπιεῖν· καὶ τοῦτο σιτίον τε ἱκανὸν ἔσται αὐτῇ, καὶ ἀναψύξει τὸ ἆσθμα, καὶ ἀναπαύσει τὸ δίψος.

CAPUT XIV.

Περὶ τοῦ, ποίῳ χρόνῳ ἐξακτέον τὰς κύνας ἐπὶ θήραν.

1. Ἐξάγειν δὲ ἐπὶ θήραν ἦρος μὲν καὶ φθινοπώρου θαμινά· ἀσφαλέσταται γὰρ αἱ ὧραι αὗται ταῖς κυσίν. 2. Θέρους δὲ ὀλιγάκις, καὶ τὸ πολὺ διαλείποντα, εἰ πνίγος εἴη· οὐ γὰρ ἀνέχονται καύματος αἱ κύνες, ἀλλὰ πολλαὶ ἤδη διώξασαι ἀνὰ κράτος, ἀπεπνίγησαν ὑπὸ τοῦ ἄσθματος. 3. Τούτου δὴ ἕνεκα φέρειν χρὴ ὠὰ τὸν κυνηγέτην, ὥστε, εἰ ὑπερασθμαίνοι ἡ κύων, καθιέναι ἀθρόα· οὐ γάρ ἐστιν, ὅ τι μᾶλλον ἀναψύχει τε αὐταῖς τὸ καῦμα, καὶ τὸ ἆσθμα ἀναπαύει. 4. Εἰ δὲ πίοι ἀθρόον ὑπερασθμαίνουσα, καὶ τοῦτο οὐκ ἀσφαλές. Τούτων δὴ ἕνεκα χρὴ φυλάττεσθαι ἐν καύματι ἐξάγειν. 5. Καὶ χειμῶνος δὲ μὴ ἐξάγειν, εἰ τὸ κρύος τύχοι χαλεπόν· καὶ πολὺ δὴ μάλιστα, εἰ πεπηγυῖα ἡ γῆ τύχοι· ἀποκαίονται γὰρ ἐν τῷ κρυστάλλῳ αἱ κύνες· καὶ τοὺς ὄνυχάς ἐστιν αἳ ἀπολλύουσι, καὶ τὰ νέρθεν τῶν ποδῶν αὐταῖς ῥήγνυνται. 6. Εἰ δὲ εὐψυχότεραι εἶεν, καὶ θραύοιεν ἂν περὶ τῷ κρυστάλλῳ

in gulam juvenci domandi demittit Columella vi. 2. 7.

3. καθιέναι] Columella vi. 4. 2. "ſæpe etiam languor et nauſea diſcutitur, ſi integrum gallinaceum ovum jejuni faucibus inſeras."

Cap. XIV. 2. διαλείποντα] Ita ex Codice Pariſ. vulgatum διαπνίγονται corrigi juſſit Baſt. Epitre p. 140. Intellige χρόνον. Ita utitur Xenophon vii. 2.

3. ἆσθμα ἀναπαύει] Sect. iii. cap. 13. erat de ovo: ἀναψύξει τὸ ἆσθμα καὶ ἀναπαύσει τὸ δίψος.

5. ἀποκαίονται] Vulgatum ἀποκναίονται correxi ex Xenophonte viii. 2. ἡ γὰρ χιὼν καίει τῶν κυνῶν τὰς ῥῖνας, τοὺς πόδας, τὴν ὀσμὴν τοῦ λαγῶ ἀφανίζει διὰ τὸ ὑπέρπαγες.

τὰ ὀστᾶ τῶν ποδῶν, ἀφειδῶς θέουσαι· ὁ δὲ λαγὼς κοῦφός τέ ἐστι, καὶ δασεῖς ἔχει τοὺς πόδας καὶ μαλθακοὺς, ὥστε ἀλύπως θεῖν ἐν τῷ πάγῳ.

CAPUT XV.

Περὶ διαστήματος, ἀφ' ὅτου δεῖ τῷ λαγῷ ἐπιλύειν τὰς κύνας, καὶ πόσας ταύτας.

1. Χρὴ δὲ, ὅστις κύνας ἀγαθὰς ἔχει, μήτε ἐγγύθεν ἐπιλύειν τῷ λαγῷ, μήτε πλείους δυοῖν· καὶ γὰρ, εἰ πάνυ ὠκὺς τύχοι, καὶ πολλὰς πολλάκις κύνας διαπεφευγὼς, ἀλλά γε ἐξ εὐνῆς ἀνιστάμενον, καὶ ξὺν βοῇ καὶ κυνῶν ἐπικειμένων ἐκπλαγῆναι ἀνάγκη, καὶ πατάσσειν αὐτῷ τὴν καρδίαν. Καὶ ἐν τούτῳ πολλάκις γενναῖοι λαγωοὶ ἀκλεῶς ἀπώλοντο, μηδὲν μήτε δράσαντες, μήτε ἐπιδειξάμενοι μνήμης ἄξιον. 2. Ἐᾶν δὲ ὑπεκφυγεῖν ἀπὸ τῆς εὐνῆς, καὶ ἀναθαῤῥῆσαι. Ὁ δὲ, εἰ τύχοι δρομικὸς, ἐπαρεῖ εὐθὺς τὰ ὦτα, καὶ μεγάλα ἀπὸ τῆς εὐνῆς πηδήσεται· οἱ δὲ καὶ διαῤῥίψαντες τὰ μέλη, καθάπερ οἱ σκιρτῶντες, τότε ἀπευθυνοῦσι τὸν δρόμον. Καὶ τότε ἄρα ἐστὶ τὸ θέαμα ἄξιον τῶν πόνων, ὅσους ἐπὶ ταῖς κυσὶ πονεῖν ἀνάγκη.

CAPUT XVI.

Περὶ λαγωῶν, καὶ τίς ἡ τούτων ἀρετή.

1. Κράτιστοι δὲ τῶν λαγωῶν οἱ ἐν τοῖς περιφανέσι καὶ ἀναπεπταμένοις τὰς εὐνὰς ἔχοντες· ὑπὸ θάῤῥους γὰρ οὐκ ἀποκρύπτουσι σφᾶς, ἀλλὰ προκαλοῦνται, ἐμοὶ δοκεῖν, τὰς

Cap. XV. 1. ἐπιδειξάμενοι] Vulgatum ἐπιδεξάμενοι correxi.

2. διαῤῥίψαντες] Eſt de ſaltantium et laſcivientium leporum longis veſtigiis. Xenophon v. 8. διαῤῥιπτῶν ἐπὶ τὸ δυνατὸν, intellecto τοὺς πόδας. Idem iv. 4. διαῤῥίμματα canum εἰς τὸ πρόσθεν καὶ ὄπισθεν καὶ εἰς τὸ πλάγιον memorat, ubi venatori leporem repertum ſignificare volunt. Aliud eſt ἀπευθύνειν τὸν δρόμον, recto et contento curſu pergere.

Cap. XVI. 1. Κράτιστοι] Ælianus h. a. xiii. 14. ποδωκέστατοι οἱ ὄρειοι.

κύνας. 2. Οἱ δὲ αὐτοὶ οὗτοι, ἐπειδὰν διώκωνται, οὐκ ἐπὶ τὰς νάπας φεύγουσιν, οὐδὲ ἐπὶ τὰ ἄλση, εἰ καὶ πάνυ πλησίον τύχοι ὄντα, ὥστε εὐμαρῶς ἀφελέσθαι αὐτοὺς τοῦ κινδύνου· ἀλλὰ ἐς τὰ πεδία βιάζονται, ἐρίζοντες πρὸς τὰς κύνας, καὶ, εἰ μὲν βραδεῖαι κύνες ἕποιντο αὐτοῖς, τοσοῦτον, ὅσον διώκονται, θέουσιν· εἰ δὲ ὠκεῖαι, ὅση δύναμις. 3. Πολλάκις δὲ ἤδη ἐς τὰ πεδία ἐκτραπέντες, εἰ αἴσθοιντο ἐφομαρτοῦσαν κύνα ἀγαθὴν, ὡς ἐπισκιάζεσθαι ὑπ' αὐτῆς, θαμινὰ ἐν τοῖς ἐξελιγμοῖς διαῤῥίψαντες αὐτὴν, οἵδε τρέπονται αὖ ἐπὶ τὰς νάπας, ἢ εἴ που κατάδυσιν γιγνώσκοιεν. 4. Καὶ τοῦτο τεκμήριον ποιητέον, ὅτι ἐκράτησεν ἡ κύων τοῦ λαγῶ· οὐ γάρ τοι ἐπὶ τῷ ἁλῶναι τὸ θηρίον ἐξάγουσι τὰς κύνας, ἀλλὰ ἐς ἀγῶνα δρόμου καὶ ἅμιλλαν οἵ γε τῇ ἀληθείᾳ κυνηγετικοί· καὶ ἀγαπῶσιν, εἰ ἐπιτύχοι ὁ λαγὼς τοῦ διασώσοντος. 5. Καὶ καταφυγόντα ἐς ἀκάνθας ἔστιν ὅτε ὀλίγας οἵδε καὶ ἰδόντες ἐπτηχότα καὶ ἀπαγορεύοντα, ἀνακαλοῦσι τὰς κύνας· μάλιστα δὴ, εἰ καλῶς διαγωνίσαιντο· ὥστε πολλάκις ἤδη ἔγωγε ἐφ' ἵππου ἐφομαρτῶν τῷ δρόμῳ, καὶ ἁλόντα ἐπελθὼν ζῶντα ἀφειλόμην· καὶ ἀφελόμενος καὶ δήσας τὴν κύνα, ἀφῆκα διαφυγεῖν τὸν λαγών· καὶ εἰ ὕστερος ἀφικόμην, ἢ ὥστε διασῶσαι, ἔπαισα τὴν κεφαλὴν, ὅτι ἀνταγωνιστὴν ἄρα ἀγαθὸν ἀπώλεσαν αἱ κύνες. 6. Καὶ τούτου μόνου ἕνεκα οὐ ξύμ-

2. ἐπειδὰν διώκωνται] Vulgatum antea ἐπειδ' ἂν διώκονται correxit Zeune. Idem deinde αὐτοὺς in αὑτοὺς mutavit.

3. ἐξελιγμοῖς] Verbo ἐξελίττειν sæpius nofter cum Xenophonte utitur de lepore fugiente et veftigia variato et inflexo curfu turbante. Ælianus h. a. xiii. 14. δρόμον δὲ ἕνα καὶ ἰθὺν οὐ θεῖ, δεῦρο δὲ καὶ ἐκεῖσε παρακλίνει, καὶ ἐξελίττει τῇ καὶ τῇ, ἐκπλήττων τοὺς κύνας καὶ ἀπατῶν. Nofter poftrema hæc fignificavit verbis διαῤῥίψαντες αὐτὴν, turbant canem et dubiam faciunt disjectis et varie inflexis veftigiis. Statim nofter xvii. 3. ὁ μὲν ἐξελίξας τὸν δρόμον καὶ διαῤῥίψας τὴν κύνα ἵεται τοῦ πρόσω. Cap. xx. 3. ἐξελιχθῆναι τοὺς ἑλιγμοὺς τοὺς πρώτους.

5. διαγωνίσαιντο] Præceffit ἀνακαλοῦσι τὰς κύνας. Igitur male Zeune διαγωνίσαιτο conjecit.

ζῶντα] Stephanus Sched. v. 18. ζῶον pofuit; igitur paulo antea ἁλὸν fcribi voluit.

τὴν κεφαλὴν] Britannus Blane τῶν κυνῶν intelligit, equidem Arriani.

φημι τῷ ἐμαυτοῦ ὁμωνύμῳ, ἀλλὰ εὑρισκόμενον μὲν ὅστις ἴδοι τὸ θηρίον καὶ διωκόμενον καὶ μεταθεόμενον, ξυγχωρῶ, διότι ἐπιλάθοιτο ἂν, εἴ του ἐρῴη· ἁλισκόμενον δὲ ἰδεῖν, οὔτε ἡδὺ τὸ θέαμα ἀποφαίνω οὔτε ἐκπληκτικὸν, ἀλλ' ἀνιαρὸν μᾶλλον, καὶ οὐκ ἂν ἐπί γε τούτῳ ἐπιλαθέσθαι ἄν τινα, εἴ του ἐρῴη. 7. Ἀλλ' ἐκείνῳ γε τῷ Ξενοφῶντι, οὐκ ἐγνωκότι ὠκείας κύνας, συγγνωστὸν, εἰ καὶ ἁλισκόμενος λαγὼς μέγα θέαμα ἐφαίνετο. 8. Ἐφομαρτοῦντα δὲ τῷ δρόμῳ ἐπικλάζειν, εἰ καὶ μὴ παρακελευσαίμην, οἶδα ὅτι πολλὴ ἀνάγκη· ὥστε καὶ ἄναυδόν τινα ῥῆξαι φωνὴν οὐ μεῖον, ἢ, ὡς λόγος, τὸν Κροίσου υἱέα.

CAPUT XVII.

Ὅτι τὸ ἀνακαλεῖν ἐν ταῖς θήραις τὰς κύνας, ἀγαθὸν ταύταις.

1. Καὶ τὴν κύνα δὲ ἀνακαλεῖν ἀγαθόν· χαίρουσι γὰρ τὴν φωνὴν τοῦ δεσπότου γνωρίζουσαι, καὶ παραμυθίαν ἴσχουσι τῶν πόνων τὸ γιγνώσκειν, ὅτι θεατὴς αὐταῖς πάρεστι, καὶ ὅτι οὐ λανθάνουσιν ἀγωνιζόμεναι καλῶς. 2. Καὶ δὴ τὸ ἐν πρώτῳ μὲν δρόμῳ, ὁσάκις φίλον, ἀνακαλεῖν οὐ κωλύω· ἐν δευτέρῳ δὲ ἢ τρίτῳ, ὁπότε εἰκὸς διαπεπονῆσθαι τὴν κύνα, κωλῦσαι ἄν μοι δοκῶ θαμινὰ ἀνακαλεῖν αὐτὴν ὀνομαστὶ, μή ποτε ἄρα ὑπὸ μένους καὶ προθυμίας, χαρίζεσθαι τῷ δεσπότῃ θέλουσα, ἐπὶ τὰ παρὰ δύναμιν ἐνταθεῖσα ῥήξειέ τι τῶν ἐντός· πολλαὶ γὰρ ἤδη οὕτω γε κύνες καὶ αἱ γενναιόταται διαφθείρονται. 3. Ἀλλὰ τηνικαῦτα ἀφιέναι διαγωνίζεσθαι, ὅπως ἐθέ-

6. εἴ του ἐρῴη] Locus Xenophontis est v. 33.

8. Κροίσου] Cf. Herodoti librum i.

Cap. XVII. 2. γὰρ ἤδη οὕτω γε κύνες —διαφθείρονται] Vitiosum locum esse suspicor et quædam excidisse. Quid enim γε hic facit? Deinde ἤδη non congruit cum præsenti διαφθείρονται. Supra xiv. 2. πολλαὶ ἤδη διώξασαι ἀνὰ κράτος ἀπεπνίγησαν ὑπὸ τοῦ ἄσθματος. xxv. 2. πολλοὶ ἤδη—ἀπώλοντο.

λουσιν· οὐ γάρ τοι οὐδ᾽ ἴσος ὁ ἀγὼν λαγωῷ καὶ κυνί· ἀλλ᾽ ὁ μὲν, ὅποι βούλεται, θεῖ, ἡ δὲ ἄλλῳ ἐφομαρτεῖ· καὶ ὁ μὲν ἐξελίξας τὸν δρόμον καὶ διαῤῥίψας τὴν κύνα ἵεται τοῦ πρόσω, ἡ δὲ, εἰ διαῤῥιφθείη, πλάζεται· καὶ ἀνάγκη φθάσαντα αὖ μεταθεῖν καὶ ἀναλαβεῖν, ὅσον ἐξηνέχθη τοῦ δρόμου. 4. Καὶ αἱ δυσχωρίαι πρὸς τοῦ λαγὼ μᾶλλόν τί εἰσιν ἢ τῆς κυνὸς, οἷα τὰ τραχέα καὶ οἱ φελλεῶνες καὶ τὰ σιμὰ καὶ τὰ ἀνώμαλα· ὅτι καὶ κοῦφός τέ ἐστι, καὶ οἱ πόδες αὐτῷ ὑπὸ δασύτητος οὐ ῥήγνυνται ἐν τοῖς τραχέσι, καὶ τὸ περὶ ψυχῆς δὲ θεῖν ἀφαιρεῖται τὴν αἴσθησιν τῶν δυσκόλων.

CAPUT XVIII.

Ὅτι δεῖ τὴν κύνα καλῶς ἠγωνισμένην καταψῶντα ἐπευφημεῖν.

1. Ἔχουσαν δὲ τὴν κύνα ἢ καὶ ἄλλως κρατήσασαν τῷ δρόμῳ, καταπηδήσαντα ἀπὸ τοῦ ἵππου καταψᾷν χρὴ ἐπευφημοῦντα, καὶ τὴν κεφαλὴν φιλεῖν, καὶ τὰ ὦτα ἀποτείνειν, καὶ ὀνομαστὶ ἐπιλέγειν, εὖγε ὦ Κιῤῥὰ, εὖγε ὦ Βόννα, καλῶς γε ὦ Ὁρμὴ, καὶ, ὅ τι περ ἄλλο ἑκάστῃ ὄνομα, αὖ τοῦτο ἀνακαλοῦντα· χαίρουσι γὰρ ἐπαινούμεναι, καθάπερ τῶν ἀνθρώπων οἱ γενναῖοι. 2. Ἡ δὲ, εἰ μὴ τύχοι ἀπηγορευκυῖα, πρόσεισιν ἐπιμειδιῶσα καὶ φιλοφρονουμένη. Ἀγαθὸν δὲ ἐπὶ τούτῳ καὶ καλινδεῖσθαι τὴν κύνα, καθάπερ τοὺς ἵππους ὁρῶμεν· δῆλον γὰρ, ὅτι

3. οὐδ᾽ ἴσος ὁ ἀγὼν] Vulgatum οὐδεὶς ὡς ἀγὼν manifeſto vitioſum correxi.

διαῤῥίψας] Cf. ad cap. xvi. 3.

ἵεται τοῦ πρόσω] Vulgatum ἵεται correxi. De dictione τοῦ πρόσω dixi ad Xenophontis Anabaſin.

ἐξηνέχθη τοῦ δρόμου] Cf. ad xxiv. 8. ubi idem verbum eſt ſine additis τοῦ δρόμου.

4. τὰ τραχέα] Vulgatum τι correxi. φελλεῶνας illuſtravi ad Xenophontem de Ven. v. 18.

ὑπὸ δασύτητος] Ælianus h. a. xiii. 14. πέφυκε γὰρ δασὺς τοὺς πόδας καὶ δὴ καὶ τῶν τραχέων ἀνέχεται. Hinc Attici etiam δασύποδα vocarunt leporem.

Cap. XVIII. 1. ἀποτείνειν] Vulgatum ἀποτεινεῖν corrigi juſſit Zeune.

μὴ ἀπηγόρευσεν ὑπὸ τοῦ δρόμου, καὶ ἅμα τὸν κάματον παύει αὐτῶν.

CAPUT XIX.

[Πῶς Κελτοὶ θηρῶσι, καὶ πότε.]

1. Θηρῶσι δὲ Κελτοὶ, ὅσοι μὲν πλουτοῦσιν αὐτῶν καὶ τρυφῶσιν· ἕωθεν ἐκπέμπουσιν ἐς τὰ χωρία τὰ ὕποπτα τοὺς κατοπτεύσοντας, ὅπου τυγχάνει ἀναπαυόμενος λαγώς· καὶ ἔστιν ὁ ἀγγέλλων, εἰ τύχοι ὀφθεὶς, ἢ ὁπόσοι ἂν τύχωσιν. 2. Ἔπειτα ἀφικόμενοι μεθιᾶσι τὰς κύνας, ἐξεγείραντες τὸ θηρίον· αὐτοὶ δὲ ἐφ' ἵππων ἕπονται.

CAPUT XX.

[Ὅπως εἰς κυνηγέσιον ἐξιέναι χρὴ τοὺς μὴ τὸ θήραμα οὗ ἐστιν ἐγνωκότας.]

1. Ὅσοις δὲ οὐκ εἰσὶν οἱ κατοπτεύσοντες, οἱ μὲν αὐτῶν πλείονας συνθήρους συνάγοντες ἐξίασιν ἐφ' ἵππων, καὶ τὰ ὕποπτα ἐπερχόμενοι, ὅπου ἂν τύχῃ ἐξεγερθεὶς λαγὼς, μεθιᾶσι τὰς κύνας· ὅσοι δὲ ἔτι μᾶλλον αὐτουργοί εἰσι κυνηγεσίων, πεζοὶ ἐξίασιν· εἰ δέ τις αὐτοῖς ἐφ' ἵππου ἐφομαρτεῖ, καὶ οὗτος διώκειν τέτακται ἅμα ταῖς κυσίν. 2. Ἐκπεριΐασι δὲ ἐπὶ μετώπου ταχθέντες· ἔπειτα

Cap. XIX. 1. τρυφῶσιν] Nescio quid hiulci habet hæc narratio, et vereor, ut locus sit integer. Deinceps κατοπτεύοντας habet H. Stephani Schediasma v. 16. Hæc postquam scripseram, denuo tractavi cap. xx. et obstupui, tantam hucusque Editorum fuisse socordiam, ut de transposito hoc capite, si ipsi vitium animadverterant, ne verbo quidem lectores admonerent. Vulgo enim caput hoc numero xv. inscriptum et post caput xiv. collocatum seriem et ordinem doctrinæ turbabat; caput vero hinc longe remotum xx. subito narrationem alibi inceptam repetebat; sed ne istic quidem Editoribus de vitio suboluisse videtur. Nunc bene omnia coeunt invicem et juncta narrationem de Celtarum venatione continuant; inscriptiones autem capitum ita magis etiam stuporem auctoris manifestum monstrant. Post τρυφῶσιν insertum malim οὕτως. Ad membrum illud ἐκπέμπουσι τοὺς κατοπτεύσοντας respondet capitis sequentis membrum illud: Ὅσοις δὲ οὐκ εἰσὶν οἱ κατοπτεύσοντες. Inscriptiones trium horum capitum nimis ineptas seclusi.

Cap. XX. 1. ὅπου ἂν τύχῃ] Vulgatum ὅπως correxi. τύχοι ex h. l. posuit Stephanus Schediasm. v. 16.

ἐπ' εὐθείας προελθόντες, ὅσον ξύμμετρον διανύσαι, ἐπιστρέψαντες αὖ ἅμα κάμπτουσι παρὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν, μηδὲν εἰς δύναμιν παραλείποντες τῶν ὑπόπτων. 3. Χρὴ δὲ, εἰ πλείους κύνας ἐπάγοιντο, μὴ εἰκῇ τεταγμένας ἰέναι· εἰ γάρ τοι ἐξεγερθείη τῆς εὐνῆς λαγὼς, οὐκ ἔστιν ὅστις ἀπόσχοιτο μὴ οὐκ ἐφεῖναι τὴν ἑαυτοῦ κύνα· ὁ μὲν ἐπιθυμίᾳ τοῦ θέουσαν ἰδεῖν τὴν αὑτοῦ ἕκαστος, ὁ δέ τις ἐκπλαγεὶς πρὸς τὴν βοὴν καὶ ἔκφρων γενόμενος· ἁλίσκοιτό τε ἄνευ ἀγῶνος ὁ λαγὼς ὑπὸ θορύβου τῶν κυνῶν, καὶ τοῦ θεάματος ὅ τι περ ὄφελος ἀπολλύοιτο. 4. Ἀλλ' ἄρχοντα χρὴ ἐπιτετάχθαι τῇ θήρᾳ, καὶ οὗτος συνδυαζέτω τὰς κύνας, καὶ ταττέτω, ὡς, εἰ ταύτῃ πηδήσειε, σὺ καὶ σὺ ἐπιλύειν· ἄλλος δὲ μὴ λυέτω· εἰ δὲ ταύτῃ, αὖ σὺ καὶ σύ· οἱ δὲ ἐμπεδούντων τὸ ταχθέν.

CAPUT XXI.

[Περὶ τοῦ, πῶς θηρῶσι Κελτοί.]

1. Θηρῶσι δὲ Κελτοὶ καὶ ἀναμιγνύοντες τοῖς ἰχνευταῖς κυσὶ τὰς ὠκείας· καὶ οἱ μὲν μαστεύουσιν, αὐτοὶ δὲ διΐστανται, μετὰ χεῖρας ἄγοντες τὰς κύνας τὰς ἀγαθὰς, οὗπερ μάλιστα εἰκὸς τὸν λαγὼ ἀπευθῦναι τὸν δρόμον, ὥστε ἐφιέναι τῶν κυνῶν, ὅπως ἂν τοι προχωρῇ. 2. Καὶ εἰσὶν αἱ κύνες αὗται, ὅ τι περ αἱ ἄρκυς Ξενοφῶντι ἐκείνῳ· ἀλλ' ἄτακτοί γε οὕτως γίγνονται οἱ δρόμοι· καὶ ὁ λαγὼς, εἰ καὶ πάνυ ἀγαθὸς ὢν τύχοι, τὸ πολὺ ὑπὸ τῆς κλαγγῆς τῶν κυνῶν ἐκπλήττεται, καὶ, εἰ μὴ πρὸ πολλοῦ τύχοι προ-

2. παρὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν] Eadem verba ſed alio ſenſu habet Xenophon Venat. v. 20.

3. γενόμενος. Ἁλίσκοιτό τε ἄνευ] Ita vulgo ſcriptum h. l. emendavi, ut male diſcerpta conjungerem. Pendent enim hæc verba, ἁλίσκοιτο— ἀπολλύοιτο, ab illo initio: εἰ γάρ τοι ἐξεγερθείη et ſeqq. An præterea particula ἂν exciderit optativo modo jungenda, dubius hæreo.

Cap. XXI. 1. οὗπερ] Scribendum ſuſpicor οἷπερ.

2. ἄτακτοι] Blancardi conjecturam ἀλλὰ τακτοὶ recte improbavit Zeune.

πηδήσας, ὡς καταστῆσαι αὐτῷ τὴν γνώμην, ἁλίσκεται εὐμαρῶς, ἔκφρων γενόμενος. 3. Χρὴ οὖν ὅστις ἐπιλύσαι κύνα ἀγαθὸς, μὴ ἐφιέναι τι θορυβουμένῳ, ἀλλὰ ἐάσαντα ἐξελιχθῆναι τοὺς ἑλιγμοὺς τοὺς πρώτους, οὕτω μεθεῖναι τὴν κύνα, εἰ μὴ διαφθεῖραι θέλει τὴν θέαν.

CAPUT XXII.

Ὅτι οὐ χρὴ ἐπιλύειν κύνας νεογνῷ θηράματι.

1. Νεογνῷ δὲ ἐπιλύειν μὴ θέμις ἔστω· ἀλλὰ χρὴ πειθομένους τῷ ἐμῷ ὁμωνύμῳ ἀφιέναι τούτους τῇ Θεῷ. 2. Ὥστε καὶ τὰς ἰχνευούσας, εἰ οἷόν τε, πειρατέον ἀνακαλεῖν· κακαὶ δὲ ἀνακληθῆναι αὗται, καὶ δυσπειθεῖς ὑπὸ λιμοῦ, δειναὶ δὲ καὶ καταφαγεῖν τὸν ἁλόντα παντελῶς· ὥστε μόλις ἂν ξύλῳ παίων ἀπαλλάξειας αὐτάς.

CAPUT XXIII.

Πῶς θηρατέον ἐλάφους, ἢ ἄλλο τι μέγιστον.

1. Χρὴ δὲ ἔλαφον, ἤ τι ἄλλο ἐς μέγεθος πρὸς τοσόνδε, τόνδε τὸν τρόπον θηρᾷν, ἐφιέντα τὰς κύνας τὰς γενναίας· μέγα τε γὰρ τὸ θηρίον, καὶ δεῖ ἐπὶ πολὺ, καὶ διαγωνίσασθαι οὐκ ἀσφαλές· καὶ ὁ κίνδυνος οὐ σμικρὸς, κύνα ἀγαθὴν ἐλάφου ἕνεκα διαφθαρῆναι. 2. Ἀλλὰ τὰς ἐλάφους, ἔνθα τὰ πεδία εὐήλατα, ἐν μὲν Μυσοῖς καὶ ἐν Γέταις καὶ ἐν Σκυθίᾳ καὶ ἀνὰ τὴν Ἰλλυρίδα, ἀφ᾽ ἵππων τῶν Σκυθικῶν καὶ Ἰλλυριῶν διώκουσιν· αὐτοὶ γὰρ ἐλαύνεσθαι μὲν τὰ πρῶτα οὐκ ἀγαθοί· ἀλλὰ κἂν πάνυ κατα-

3. ἐπιλύσαι—ἀγαθὸς] peritus temporis, ubi canis dimittendus et lepori immittendus eſt.

Cap. XXII. 1. πειθομένους] Vulgatum πειθομένως a Zeunio in Indicem relatum correxi. Locus Xenophontis eſt cap. v. 14.

Cap. XXIII. 1. πρὸς τοσόνδε] Vitioſa hæc ſunt. Deeſt verbum προῆκον et, ni fallor, θηρίον. Donec Codex meliorem ſuggeſſerit ſcripturam, conjiciebam ἐς μέγεθος προῆκον θηρίον τόνδε et cet.

2. αὐτοὶ γὰρ] Mihi οὗτοι ſcribendum videbatur.

φρονήσειας ἰδὼν παραβάλλοντας ἵππῳ Θετταλῷ ἢ Σικελῷ ἢ Πελοποννησίῳ· διαπονούμενοι δὲ ἐπίπαν ἀντέχουσι. 3. Καὶ τότε ἂν ἴδοις τὸν μὲν ὠκὺν ἐκεῖνον ἵππον καὶ μέγαν καὶ σοβαρὸν ἀπαγορεύοντα· τὸν δὲ λεπτὸν καὶ ψωραλέον πρῶτα μὲν παραμείβοντα, ἔπειτα ἀπολείποντα, ἔπειτα ἀπελαύνοντα τὸ θηρίον. 4. Ὁ δὲ ἐς τοσοῦτον ἄρα ἀντέχει, ὥστε ἀπαγορεῦσαι τὴν ἔλαφον· ἀπαγορεύσασα δὲ καὶ χανοῦσα ὑπὸ ἀπορίας ἵσταται· καὶ ἔξεστιν ἤδη, εἰ μὲν βούλοιο, ἀκοντίσαι ἐγγύθεν ὡς πεπεδημένην· εἰ δὲ ἐθέλοις, καὶ ζώσῃ βρόχον περιβαλόντα ἄγειν.

CAPUT XXIV.

Ὅπως Λίβυες μεθ᾽ ἵππων αἱροῦσι μεγάλα θηράματα.

1. Ἐν δὲ Λιβύῃ ἀφ᾽ ἵππων Λιβυκῶν, οἳ δὴ Νομάδες καλοῦνται, οἵ τε ἄνδρες αὐτοὶ καὶ οἱ ἱππικοὶ ἀπὸ τούτων τῶν ἵππων, μὴ ὅτι ἐλάφους αἱροῦσιν ἢ δορκάδας· (ταῦτα μὲν γὰρ οὐδὲ διὰ πολλοῦ ἀγῶνος, οὐδὲ ἀγαθοὶ ἵπποι δοκοῦσιν οἱ τοιοῦτόν τι ἑλόντες) ἀλλὰ καὶ τοὺς ὄνους τοὺς ἀγρίους, οἳ δὴ ὠκύτητι διαφέροντές εἰσι, καὶ τῷ ἐπὶ μήκιστον ἀντέχειν θέοντες. 2. Ὁπότε γ᾽ οὖν ἐπὶ μέγαν βασιλέα ἤλαυνον οἱ ἅμα Κύρῳ τῷ Δαρείου Ἕλληνες, οἷς καὶ Ξενοφῶν συνεστράτευσε, λέγει Ξενοφῶν, οὗ τὰ πεδία τὰ Ἀραβίων ἐξήνυον, ἀγέλας προφαίνεσθαι τῶν ὄνων τῶν ἀγρίων, καὶ ὑπὸ ἑνὸς μὲν ἱππέων μήποτε ἁλῶναι ὄνον ἄγριον· διϊσταμένους δὲ ἄλλους ἐπ᾽ ἄλλοις ἐλαύνειν· τοὺς δὲ πολλοῖς ἀντίσχοντας τελευτῶντας ἤδη ἀπαγορεύειν ὑπὸ

παραβάλλοντας] Nisi forte significet verbum juxta euntes vel currentes, equidem παραβαλλομένους vel καὶ παραβαλὼν scribendum censeo.

3. ἀπελαύνοντα] Equi celeris usus non est in fugandis feris, sed potius in assequendis adeoque aggrediendis. Quare ἐπελαύνοντα scribendum censeo.

4. χανοῦσα] sublimi cervice et aperto ore anhelans.

Cap. XXIV. 1. ἵππων Λιβυκῶν] Libycos equos strigosos et celerrimos memorat Ælianus h. a. iii. 2.

πολλοῦ ἀγῶνος] Intellige αἱροῦσιν.

2. πολλοῖς ἀντίσχοντας] Vulgatum

καμάτȣ· οὕτως ἄρα καὶ Κύρῳ τῷ μεγάλου μὲν βασιλέως παιδὶ, μεγάλȣ δὲ βασιλέως ἀδελφῷ, ȣ̓κ ἀγαθοὶ διώκειν ἵπποι ἦσαν. 3. Λιβύων δὲ παῖδες, ὀκταετεῖς εἰσιν οἱ μὲν αὐτῶν, οἱ δὲ ȣ̓ πολλῷ πρεσβύτεροι, ἐπὶ γυμνῶν τῶν ἵππων ἐλαύνουσι, ῥάβδῳ χρώμενοι ἐπ' αὐτοῖς, ὅσα Ἕλληνες χαλινῷ, καὶ ἐς τοσȣ̃τον ἄρα ἐφομαρτοῦσι τοῖς ὄνοις τοῖς ἀγρίοις, ὥστε τελευτῶντες βρόχον περιβάλλοντες τῷ θηρίῳ ἄγουσιν αὐτόν· ὁ δὲ ἕπεται ἡττημένος. 4. Οὕτω τοι θηρῶσιν, ὅσοις κύνες τε ἀγαθαὶ καὶ ἵπποι, οὐ πάγαις, οὐδὲ ἄρκυσιν, οὐδὲ βρόχοις, οὐδὲ ἁπλῶς δόλοις καὶ σοφίσμασιν ἐξαπατῶντες τὰ θηρία, ἀλλὰ ἐκ τοῦ εὐθέος διαγωνιζόμενοι. 5. Καὶ ἔστι τὰ θεάματα, ἐμοὶ δοκεῖν, οὐδέν τι ἐκείνοις παραπλήσια· ἀλλὰ τὰ μὲν ληστείᾳ ἢ κλοπῇ ἔοικε, τὰ δὲ πολέμῳ τῷ ἀνὰ κράτος διαπολεμουμένῳ· καὶ οἱ μὲν ὡς πειραταὶ λάθρα ἐπιπλέοντες προσφέρονται πρὸς τὰ θηρία· οἱ δὲ, καθάπερ Ἀθηναῖοι Μήδων ἐκράτησαν ναυμαχίᾳ περὶ Ἀρτεμίσιον ἢ περὶ Σαλαμῖνα καὶ Ψυτταλίαν, ἢ αὖθις περὶ Κύπρον, οὕτω δὲ καὶ οὗτοι τῶν θηρίων ἐκ τοῦ ἐμφανοῦς κρατοῦσιν.

CAPUT XXV.

Περὶ τοῦ, ἀφ' οἵας ἡλικίας δεῖ ἐξάγειν εἰς θήραν τὰς θηλείας κύνας.

1. Κυνὸς ἡλικία ἐς τὸ θεῖν· θήλειαν μὲν μετὰ μῆνα

πολλοὺς ἀντίσχοντας ex loco Xenophontis Anab. i. 5. 2. correxi in annotatione ad iſtum locum.

3. *οἱ μὲν αὐτῶν*] Particulam *μὲν* inſerui.

ῥάβδῳ] Nemeſianus de Venat. verſu 259. ſeqq. equos Mauruſios et Mazacas deſcribens: *nam flecti facilis—paret in obſequium lentæ moderamine virgæ—ſunt verbera freni* et cetera.

βρόχον] Ælianus h. a. xiv. 10. Ὄνοι δὲ Μαυρούσιοι ὤκιστοι δραμεῖν παρά γε τὴν πρώτην ὁρμήν εἰσιν ὀξύτατοι—ταχέως δὲ κάμνουσι, καὶ αὐτοῖς οἱ πόδες ἀπαγορεύουσι.—τῶν μὲν οὖν ἵππων ἀποπηδήσαντες εἶτα μέντοι περιβάλλουσιν αὐτοῖς βρόχους περὶ τὴν δέρην καὶ τῷ ἵππῳ προσαρτήσας ἕκαστος ἄγει.

Cap. XXV. 1. *Κυνὸς ἡλικία ἐς τὸ θεῖν*] Hæc verba mihi a Grammatico aliquo profecta et in margine olim appoſita fuiſſe videntur. Nec enim bene græca ſunt, neque cum reliqua oratione bene coeunt.

ἑνδέκατον ἐξάγειν ἐπὶ θήραν· πρόσθεν δὲ ἔτι ἀπὸ δεκάτου μηνὸς, εἰ εὐπαγὴς τύχοι καὶ μὴ ὑγρομελὴς, λαγὼ ἀπὸ χειρὸς ἀφιέναι ἐν χωρίῳ περιφανεῖ, καὶ τὴν μὲν ἐγγύθεν ἐφιέναι τῷ λαγῷ, ὥστε τήν τε ὄψιν αὐτὴν ἐμπίπλασθαι, καὶ ἐγγὺς ὁρῶσαν μετ' ἐλπίδος ἀγαθῆς πονεῖν. 2. Κύνα δὲ ἄλλην γενναίαν ἐφιέναι ὕϛερον, ὡς μὴ ἐπὶ πολὺ κακοπαθῆσαι τὴν σκύλακα, μηδὲ ἀπαγορεῦσαι ὑπὸ καμάτου· ἡ δὲ θαμινὰ καὶ εὐμαρῶς ἐξελίσσουσα τὸν λαγὼ παραδώσει τῇ σκύλακι· ἑλοῦσαν δὲ ἐᾶν σπαράξαι τοῖς ὀδοῦσιν, ἔστε κατακανεῖν. 3. Ἐπειδὰν δὲ ἐξάγεσθαι ἤδη ὥραν ἔχῃ, πρῶτα μὲν τὰς ὁδοὺς βαδίζειν, ὅσαι τραχεῖαι αὐτῶν· ἀγαθὸν γὰρ τὸ μελέτημα ἐς τὸ πῆξαι τοὺς πόδας ταῖς κυσίν. 4. Ἔπειτα ἵστασθαι τὸν ἔχοντα αὐτὰς ἐν χωρίῳ περιφανεῖ καὶ ὑπερδεξίῳ, καὶ φθάσαντι μὲν τῷ λαγῷ καὶ προλαβόντι οὐχ ὁρῶσαν μὴ ἐφιέναι· τοῦτο γάρ τοι περὶ τῶν εἰς ἰχνείαν ἀσκουμένων κυνῶν παραινεῖ ὁ Ξενοφῶν ἐκεῖνος. 5. Κύνα δὲ ὠκεῖαν εἰ μὴ ὁρῶσαν ἐπιλύσειας, πλάζεται καὶ σκιρτᾷ καὶ ἔκφρων γίγνεται καὶ ἀνασοβεῖται. 6. Καὶ τοίνυν εἴ ποτε διαφύγοι αὐτὴν τελεωθεῖσαν ἤδη ὁ λαγὼς, οὐκ ἀτρέμα ἔχει ἑαυτὴν, οὐδὲ ἐπὶ τὸν κυνα-

ἑνδέκατον] Xenoph. vii. 6. *τὰς μὲν θηλείας ὀκταμήνους, τὺς δὲ ἄῤῥενας δεκαμήνους.*

λαγὼ ἀπὸ] Vulgatum *λαγῷ* ſenſum turbat, igitur correxi. Nemeſianus verſu 189. *his leporem præmitte manu non viribus æquis nec rurſus virtute parem, ſed tarda trahentem membra.*

μετ' ἐλπίδος] Contra Xenoph. vii. 9. *ἐὰν δὲ αἰσχίους ὦσι πρὸς τὸν δρόμον* (catuli), *οὐδὲν κωλύει ἰέναι· εὐθὺς γὰρ δὴ ἀνέλπιστοι οὖσαι τοῦ ἑλεῖν, οὐ πείσονται τοῦτο.*

2. *ἡ δὲ θαμινὰ*] Vulgatum *ἥδε θ.* correxi. Sequens *ἐξελίττουσα* copula non cum *τὸν λαγὼ*, ſed cum intellecto *τὰ ἴχνη*. Cf. ad Xenoph. vi. ſect. 15.

κατακανεῖν] Blancardi conjecturam *κατακαίνειν* repudiat ſimilis locus cap. xxx. 5. *ἔστε χαλάσαι τοὺς μασθούς.* Xenophon vii. 9. qui hæc paulo aliter tradit, ita: *ἁλισκομένου δὲ τοῦ λαγῶ, διδόναι αὐταῖς ἀναῤῥηγνύναι.*

3. *τραχεῖαι*] Xenophon iv. 10. *ἔϛι δὲ ἀγαθὸν ἄγειν τὰς κύνας τὰ τραχέα· καὶ γὰρ εὔποδες γίγνονται.*

4. *οὐχ ὁρῶσαν—ἐκεῖνος*] Habet ille cap. vii. 7. *ἐὰν μὲν καλαὶ ὦσι πρὸς τὸν δρόμον τὰ εἴδη, μὴ ἀνιέναι εὐθύς· ἐπειδὰν δὲ προλάβῃ ὁ λαγὼς τῷ δρόμῳ, ὥστε μὴ ἐφορᾷν ἔτι αὐτὸν, τὰς σκύλακας ἰέναι· ἐὰν γὰρ ὁμόθεν καλὰς τὰ εἴδη οὔσας καὶ εὐψύχους πρὸς τὸν δρόμον ἐπιλύῃ, ὁρῶσαι τὸν λαγὼ, ἐντεινόμεναι ῥήγνυνται.* Reprobat igitur Xenophontis præceptum, et ſtatim argumenta edit.

5. *ἔκφρων*] Diverſo ſenſu dixit Xenophon cap. v. 15.

γωγὸν ἐπάνεισιν, οὐδὲ ἀνακαλοῦντος ὑπακούει, ἀλλ' ὑπὸ μελέτης τοῦ θεῖν ἐπὶ μηδενὶ εἰκῇ πλάζεται, καὶ μαινομένῃ ἔοικεν. 7. Ἀλλὰ ἵστασθαι μὲν τὸν ἔχοντα τὴν σκύλακα ἐν χωρίῳ, ὁποῖον ἤδη μοι λέλεκται, κρυπτόμενον οὗ μάλιστα τεκμήραιτο ἄν τις, ὅτι πονούμενος ὁ λαγὼς ὑποκάμψας ἥξει. 8. Ἰδόντα δὲ διαπεπονημένον ἐγγύθεν ἐφιέναι, μὴ κατὰ στόμα, μηδὲ ἐκ τοῦ ἐναντίου· ἡ μὲν γὰρ κύων ἐξορμήσασα εὐθὺ ἐξενεχθήσεται, ὁ δὲ λαγὼς ἐξελίξας εὐμαρῶς παραμείψει· τὴν δὲ πολὺ ἀπολειφθῆναι ἀνάγκη, καὶ χαλεπῶς ὑποκάμψαι· καθάπερ αἱ τριήρεις εὐθυπλοοῦσαι οὐκ εὐμαρῶς ἐπικάμπτουσιν, εἰ μὴ ἀνεθείη τὸ πολὺ τῆς εἰρεσίας αὐταῖς, πρὶν ἐπιστρέφεσθαι. 9. Ἀλλὰ ἐάσαντα παραμεῖψαι τὸν λαγὼν, ἐκ τοῦ πλαγίου χρὴ ἐφεῖναι· ἁλόντος δὲ, ἐφομαρτείτω τις σπουδῇ, πρὶν ἐμφορηθῆναι τοῦ αἵματος τὰς κύνας· οὐκ ἐπειδὴ τὰ κρέα ἄρα περὶ πολλοῦ ποιητέον ἀνδρὶ ἐς κάλλος κυνηγετοῦντι, ἀλλ' ὅτι πονηρὸν μάθημα κυνὶ γενναίᾳ λαγωοῦ ἐσθίειν· καὶ ἤδη πολλαὶ κύνες οὕτω διεφθάρησαν, ἐπὶ μακρῷ δρόμῳ ἀσθμαίνουσαι ἐνεπλήσθησαν, ἔπειτα πνιγεῖσαι ἀπώλοντο.

CAPUT XXVI.

Περὶ ἀῤῥένων κυνῶν, ἐφ' οἵας ἡλικίας χρεὼν αὐτοὺς ἐπὶ θήραν ἐξάγειν.

1. Ἄῤῥενα δὲ μὴ πρόσθεν ἢ διετῆ γενόμενον ἐξάγειν

6. ἐπὶ μηδενὶ εἰκῇ] Copulandum εἰκῇ cum πλάζεται; ita vero ſuperflua aut potius contraria ſententiæ videntur verba ἐπὶ μηδενί.

7. ὁποῖον] Nempe περιφανεῖ. Incipit nunc præceptum Xenophonteo contrarium explicare.

ὑποκάμψας] Utitur verbo Xenophon v. 16. et noſter mox ſect. 8. ubi variat ſignificationem eandem reddens verbi ἐπικάμπτουσι.

8. ἐγγύθεν] Xenophon vii. 8. ὁμόθεν ἐπιλύειν dixit.

εὐθὺ] recta via pergit, ut ſequens εὐθυπλοοῦσαι monſtrat, et contrarium ἐκ τοῦ πλαγίου ἐφεῖναι.

ἐξενεχθήσεται] Supra xvii. 3. ὅσον ἐξηνέχθη τοῦ δρόμου.

9. ἐπειδὴ] Cf. ad cap. xxxv. 1.

λαγωοῦ] Quidni λαγῶ dixit? An potius λαγῶα ſcribendum, nempe κρέα?

ἐπὶ μακρῷ δρόμῳ] Niſi articulum αἵ inſerere malueris, ἐπεὶ ſcribendum cenſeo.

ἐπὶ θήραν· πολὺ γάρ τοι ὕστερον τοῖς ἄῤῥεσι πήγνυται τὰ μέλη. 2. Καὶ ὁ κίνδυνος οὐ σμικρὸς, ἀλλὰ πολλοὶ ἤδη, πρὶν τελειωθῆναι, ἀγωνισάμενοι πρὸ ὥρας ἀπώλοντο, καὶ μάλιστα δὲ ὅσοι γενναιότατοι· ὑπὸ γὰρ μένους τοσοῦτον, ὅσον δύνανται, θέουσι. 3. Τὰ δὲ ἄλλα ὡσαύτως παραφυλάττειν, ὅσα ἐπὶ ταῖς θηλείαις ἤδη μοι λέλεκται, ὅπως πρακτέον. 4. Φυλάττειν δὲ καὶ ἀπὸ ὀχείας ἐντὸς τῆσδε τῆς ἡλικίας· οὔτε γὰρ ἡ γονή πω αὐτοῖς πέπηγεν, ἀλλὰ ἔστιν ἐξίτηλος τὸ πολὺ καὶ ἀμαυρὰ, καθάπερ ἡ τῶν παίδων· αὐτοὶ δὲ διαφθείρονται πάμπαν, ὡς μηδὲν ἔτι πράττοντα ὕστερον ὀρθῶσαι τὴν ἁμαρτίαν· ἀλλ' ἀπὸ τρίτου μὲν ἔτους ἐφίεσθαι ἐν ὥρᾳ ἂν εἴη τῇ ξυμμέτρῳ.

CAPUT XXVII.

Πῶς ἐπὶ ὀχείαν ἀκτέον τὰς κύνας.

1. Ἐφιέσθωσαν δὲ ὧδε· φυλάξαι χρὴ τὴν κύνα, ἐπειδὰν ἀποκαθαρῇ ἀπὸ τοῦ αἵματος· πρόσθεν δὲ εἰ παραλάβοιεν τὴν γονὴν, τὸ πολὺ οὐ κρατοῦσιν, ἀλλὰ ἐκκλύζεται ὑπὸ τοῦ αἵματος, καθάπερ ταῖς γυναιξί. 2. Προσέχειν δὲ τὸν νοῦν ἐνταῦθα· βραχὺς γὰρ χρόνος διαγίγνεται, ἐν ᾧ οὐκ ἔτι μὲν φέρεται αὐτῇ τὸ αἷμα, ἔτι δὲ φυλάττει τὴν ἐπιθυμίαν· ἀγαθὴ δὲ τῇ θηλείᾳ ἡλικία ἡ ἀπὸ διετὲς ἐς ἕβδομον ἔτος.

CAPUT XXVIII.

Ὅτι, εἴ τις ὁρῴη τὴν μίξιν τῶν κυνῶν, οὐκ ἐπιτελεῖται γόνιμος.

1. Κράτιστον δὲ καθεῖρξαι ἐν ταὐτῷ τὸν ἄῤῥενα ἅμα τῇ θηλείᾳ, αὐτὸν δὲ ἀφανῆ εἶναι ἅμα ταῖς κυσίν· αἱ γὰρ

Cap. XXVI. 4. ἐφίεσθαι] *Admittere* canes, equas, vaccas, capras similiter Romani dixerunt.

Cap. XXVII. 1. ἀποκαθαρῇ] Est aor. 2. passivi; usitatior tamen aor. 1. ἀποκαθαρθῇ. De sensu dixi ad Xenoph. vii. 2.

2. φυλάττει] Vulgatum φυλάττειν correxi.

ἐν τῷ ἐμφανεῖ ὁμιλίαι οὐ γόνιμοι, εἰ χρὴ πείθεσθαι ἀνδράσι κυνηγετικοῖς· ὅσα δὲ τοιαῦτα λάθρα ὑπὸ κυνῶν ἐσπουδάσθη, ἐπιτυχῆ γίνεσθαι λόγος. 2. Μετὰ ταῦτα δὲ ἐξάγειν μὲν ἐπὶ θήραν· ὁ γὰρ περίπατος ἀγαθὸν ἐς ῥώμην ταῖς κυσίν. Ἐφεῖναι δὲ αὐτὰς λαγωῷ μηκέτι· κίνδυνος γὰρ διαφθεῖραι ὑπερκαμοῦσαν ἢ ὑπερταθεῖσαν. 3. Καὶ τὸν ἄῤῥενα δὲ μὴ ἐφιέναι ἐπὶ λαγὼν ὡσαύτως, πρὶν ἀπὸ τοῦ καμάτου ἀναπαύσασθαι καὶ ῥωσθῆναι, ἑξήκοντα ἡμερῶν οὐ μεῖον· ἔπειτα ἐφιέναι ἐς ἀγῶνα οὐδὲν κωλύσει.

CAPUT XXIX.

Περὶ καιροῦ πρὸς σκυλακείαν ἐπιτηδείου.

Κρατίστη δὲ ὥρα ἐς σκυλακείαν ἡ τοῦ ἦρος· εὐκράτως γὰρ αὕτη μάλιστα ἔχει κρύους τε καὶ θάλπους· ὡς τὸ μὲν κρύος τοῖς σκυλακίοις οὐκ ἀγαθὸν ἐς ἀνατροφὴν, ἄλλως τε καὶ ἀπορίᾳ γάλακτος· τὸ δὲ καῦμα ταῖς μητράσι χαλεπὸν ἐν τῇ ἀνατροφῇ· τὸ φθινόπωρον δὲ ταύτῃ χεῖρον τοῦ ἦρος, ὅτι χειμὼν ἐπιλαμβάνει τὰ σκυλάκια πρὶν παγῆναι.

CAPUT XXX.

Πῶς μετὰ τὸ τεκεῖν ἐπαναληπτέον εἰς τὸ ἐξ ἀρχῆς τὸν δρόμον τῶν κυνῶν.

1. Τεκοῦσαν δὲ εἰ μὲν ἔτι θέλοις ἐπαναλαβεῖν τὴν πρόσθεν ὠκύτητα, μὴ ἐᾶν ἐκτρέφειν αὐτὴν, ὅτι μὴ ἐς ὅσον ἀποκουφίσαι τὸ πολὺ τοῦ γάλακτος· εἶτα δὲ ἀφελόντα

Cap. XXVIII. 1. ἐν τῷ ἐμφανεῖ] Repetiit præceptum Cynoſophium p. 260.

2. Ἐφεῖναι—λαγωῷ] Brevius Xenophon vii. 2. Ceterum λαγῷ malim ſcriptum.

3. ἑξήκοντα ἡμερῶν] Totidem dies in utero gerit femina, teſte Xenophonte vii. 2. et Ariſtotele h. a. vi. 20.

Cap. XXIX. Κρατίστη — σκυλακείαν] Xenophon vii. 1. ἡ γὰρ ὥρα πρὸς τὰς αὐξήσεις τῶν κυνῶν κρατίστη αὕτη, ſc. τὸ ἔαρ.

ἐπιλαμβάνει] i. e. inſequens hiems accipit.

ἄλλαις παραδιδόναι κυσὶν ἐπιλεγόμενον γενναίαις· τὸ γὰρ τῶν ἀγεννῶν γάλα οὐ ξύμφυλον ταῖς γενναίαις. 2. Εἰ δὲ μηκέτι ἐς δρόμον ἐπιτηδείως ἔχουσα φαίνοιτο ἡ κύων, κράτιστον ἐᾶν ὑπὸ τῇ τεκούσῃ, καὶ μὴ ὑποβάλλειν ὑφ᾽ ἑτέραν κύνα· αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι, ἧπερ καὶ Ξενοφῶν ἐκεῖνος ἀποφαίνει, οὐκ εἰσὶν αὔξιμοι· τὸ δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθὸν καὶ τὸ πνεῦμα.

CAPUT XXXI.

Περὶ ὧν Ξενοφῶν ὑπὲρ ἀνατροφῆς κυνῶν διατάττεται.

1. Καὶ ὁπόταν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, ὀρθῶς ξυμβουλεύει, ὅτι χρὴ γάλακτι ἀνατρέφειν αὐτά· καὶ ὅτι αἱ βαρεῖαι πλησμοναὶ τά τε σκέλη αὐτοῖς διαστρέφουσι, καὶ τοῖς σώμασι νόσους ἐμβάλλουσι. 2. Καὶ τὰ ὀνόματα δὲ ὅτι βραχέα καὶ εὐανάκλητα θετέον ταῖς κυσὶ, καὶ τοῦτο χρὴ πείθεσθαι αὐτῷ· καὶ ὅσα ἀναγέγραφεν ὀνόματα, τὰ μὲν εὑρὼν, τὰ δὲ καὶ αὐτὸς ποιήσας δεξιῶς ἀναγέγραφεν. 3. Εἰ δὲ μήπω ἐθέλοις σκυλακεῦσαι, φυλάττειν ὡς ἀνυτὸν ἐπιμελέστατα τὰς κύνας, ἐπειδὰν τῇ ἀνάγκῃ ταύτῃ ἔχωνται· ἀποπαυσαμέναις δὲ οἱ μασθοὶ

Cap. XXX. 2. *μητέρων*] Vulgatum *μητρῶν* correxi ex loco Xenophonteo cap. vii. 3. ubi paulo auctior extat.

Cap. XXXI. 1. *ὀρθῶς*] Hæc tradit Xenophon cap. vii. fect. 3. feqq.

3. *Εἰ δὲ μήπω ἐθέλοις σκυλακεῦσαι*] Verbum *σκυλακεύειν* ex cap. viii. et h. l. *catulos nutrire* interpretatur Zeune. Et fic eft *σκυλακεία* cap. xxix. Xenophon paulo diverfa ratione cap. vii. 1. *σκυλακεύειν τὰς κύνας admittere canes* dixit. Igitur h. l. fenfus eft: *cum nutricatio catulorum ceffaverit.* Sed *μήπω* eft *nondum*: deinde *ταύτῃ ἀνάγκῃ*, quo verbo catulitionem fignificavit, uti Xenophon vii. fect. 1. admonent, de catulis ad fœturam admittendis loqui Arrianum. Igitur verto: *Catulos, quos ad fœturam adhibere et admittere nondum volueris, diligenter obferva.*

ὡς ἀνυτὸν] Vulgatum *ἀνυστὸν* correxi.

ἀποπαυσαμέναις] intellige *τῆς ἀνάγκης*. Ariftoteles h. a. vi. 20. *δοκεῖ δὲ σκύζαν τὸν ἴσον χρόνον κύων—τὰ δὲ καταμήνια ταῖς κυσὶν ἑπτὰ ἡμέραις γίνεται· συμβαίνει δὲ ἅμα καὶ ἔπαρσις αἰδοίου· ἐν δὲ τῷ χρόνῳ τούτῳ οὐ προσίενται ὀχείαν, ἀλλ᾽ ἐν ταῖς μετὰ ταύτας ἑπτὰ ἡμέραις· τὰς γὰρ πάσας δοκεῖ σκύζαν ἡμέρας τέτταρας καὶ δέκα ὡς ἐπὶ τὸ πολύ.* De pofteriore tempore locutus Xenophon cap. vii. 2. *καταπαυομένας* appellat, item Arrianus *ἀποπαυσαμένας*.

μασθοὶ σφριγῶσι] Ariftoteles l. c. *γίνεται δὲ σημεῖον καὶ ὅταν ἡλικίαν ἔχωσι τοῦ ὀχεύεσθαι· ὥσπερ γὰρ τοῖς ἀνθρώποις ἐπὶ ταῖς θηλαῖς τῶν μασθῶν ἐπιγίνεται*

σφριγῶσι, καὶ ὑποπίμπλανται γάλακτος, καὶ τείνεται τὰ ὑπὸ τῇ γαστρί. 4. Καὶ ἔστι τηνικαῦτα οὐκ ἀσφαλὲς ἐπιλύειν κύνα ἐπὶ λαγών· ῥήγνυνται γὰρ αὐταῖς αἱ λαγόνες· ὥστε οὐδὲ ἐς τὸ σκιρτῆσαι χρὴ λύειν αὐτὰς ἅμα ἑτέρᾳ κυνί· ἁμιλλώμεναι γάρ ἐστιν ὅτε καὶ ὑπὲρ δύναμιν ξυνταθεῖσαι ἐς ἴσον κίνδυνον καθίστανται. 5. Ἀλλὰ κράτιστον περιμεῖναι, ἔστε χαλάσαι αὐταῖς τοὺς μαθούς. Τεκμήριον δὲ, ὅτι ἤδη ἀσφαλὲς, ἐπειδὰν αἱ τρίχες ἀποῤῥέωσιν ἀθρόαι ἐπαφωμένῳ· τότε γὰρ λύονται, ἐμοὶ δοκεῖ, ἀπὸ τῆς ἀνάγκης τῆς πρόσθεν.

CAPUT XXXII.

Διαφοραὶ ἄῤῥενος καὶ θηλείας κυνός.

1. Καὶ παρίστανται ἤδη ἐς δρόμον, κύων θήλεια μὲν ὠκυτέρα ἄῤῥενος· ἄῤῥην δὲ θηλείας διαπονεῖσθαι ἀμείνων· καὶ ὅτι δι' ἔτους θεῖ, πολλῷ τινι ἐντιμότερον τὸ κτῆμα· καὶ ὅτι θήλειαι μὲν πολλαὶ ἀγαθαὶ, ἄῤῥενος δὲ γενναίου ἐπιτυχεῖν οὐκ εὐμαρὲς, καὶ ταύτῃ ἐντιμότερον· 2. καὶ ὅτι αἱ θήλειαι μὲν ἀγαπητὸν, εἰ καὶ ἐς πέμπτον ἔτος διαφυλάξειαν τὸ ὠκύ· ἄῤῥενες δὲ καὶ ἐς δέκατον διαφυλάττουσιν. Ὥστε μέγα μοι δοκεῖ τὸ κτῆμα ἄῤῥην κύων τῇ ἀληθείᾳ γενναῖος, καὶ οὐκ ἄνευ θεῶν του εὐμενείας παραγίγνεσθαι ἀνδρὶ κυνηγετικῷ· ἀλλὰ χρὴ θύειν Ἀρτέμιδι Ἀγροτέρᾳ ἐπὶ τῷδε τῷ κτήματι. 3. Θύειν δὲ χρὴ καὶ

ἀνοίδησίς τις καὶ χόνδρον ἴσχουσιν· οὐ μὴν ἀλλ' ἔργον μὴ συνήθει ὄντι καταμαθεῖν ταῦτα· οὐ γὰρ ἔχει μέγεθος οὐδὲν τὸ σημεῖον. ubi verbis χόνδρον ἴσχουσιν, quæ χονδρίασιν medicis græcis dictam ſignificant, Philoſophus complectitur ea omnia, quæ Arrianus diſertius enarravit.

4. ἐπιλύειν] Codex Blancardi ἐπιλύσειν, unde is ἐπιλύσαι malebat.

ῥήγνυνται] Xenophon cap. vii. ſ. 8. de catulis adultis: ἐντεινόμεναι ῥήγνυνται, οὔπω ἔχουσαι συνεστῶτα τὰ σώματα.

Cap. XXXII. 1. Καὶ—δρόμον] Haud ſcio, an rectius hæc verba cum ſententia capitis præcedentis poſtrema copulentur, ita ut novum exordiamur hinc: Κύων θήλεια.

2. γενναῖος, καὶ οὐκ ἄνευ] Ineptiſſime fecit, qui primus verba violenter divulſa in duo capita diſpertitus novum etiam capiti titulum fecit: Ὅτι δεῖ τοὺς κυνηγέτας θύειν τῇ Ἀρτέμιδι.

ἐπὶ θήρᾳ εὖ πράξαντα, καὶ ἀνατιθέναι ἀπαρχὰς τῶν ἁλισκομένων· τῇ Θεῷ γε ἀποκαθαίρειν τοὺς κύνας, καὶ τοὺς κυνηγέτας κατὰ τὰ πάτρια, ὡς νόμος.

CAPUT XXXIII.

Περὶ τῶν Κελτῶν νόμου, καὶ τοῦ ὑπ' αὐτῶν γινομένου ἐράνου τῇ Ἀρτέμιδι.

1. Κελτῶν δὲ ἔστιν οἷς νόμος, καὶ ἐνιαύσια θύειν τῇ Ἀρτέμιδι· οἱ δὲ καὶ θησαυρὸν ἀποδεικνύουσι τῇ Θεῷ· καὶ ἐπὶ μὲν λαγῷ ἁλόντι δύο ὀβολὼ ἐμβάλλουσιν ἐς τὸν θησαυρόν· ἐπὶ δὲ ἀλώπεκι δραχμὴν, ὅτι ἐπίβουλον τὸ χρῆμα, καὶ τοὺς λαγὼς διαφθείρει· τούτου ἕνεκα πλεῖον ἐμβάλλουσιν, ὡς ἐπὶ πολεμίῳ ἁλόντι· ἐπὶ δὲ δορκάδι τέσσαρας δραχμὰς, ὅτι μέγα τὸ ζῶον, καὶ ἡ θήρα ἐντιμοτέρα. 2. Περιελθόντος δὲ τοῦ ἔτους ὁπόταν γενέθλια ἥκῃ τῆς Ἀρτέμιδος, ἀνοίγνυται μὲν ὁ θησαυρὸς, ἀπὸ δὲ τοῦ συλλεχθέντος ἱερεῖον ὠνοῦνται, οἱ μὲν ὄϊν, οἱ δὲ αἶγα, οἱ δὲ μόσχον, εἰ οὕτω προχωρεῖ. 3. Θύσαντες δὲ, καὶ τῶν ἱερείων ἀπαρξάμενοι τῇ Ἀγροτέρᾳ, ὡς ἑκάστοις νόμος, εὐωχοῦνται αὐτοί τε καὶ οἱ κύνες. Τὰς κύνας δὲ καὶ στεφανοῦσιν ἐν τῇδε τῇ ἡμέρᾳ· ὡς δῆλον εἶναι, διότι ἐπ' αὐταῖς ἑορτάζουσιν.

3. ἐπὶ θήρᾳ] Vulgatum θήραν correxi. Deinceps εὐπράξαντα mutavi, ut infra cap. xxxv. 4. ubi pariter eſt: ἐπὶ θήρᾳ ἄρχεσθαί τε ἀπὸ θεῶν καὶ χαριστήρια θύειν εὖ πράξαντα — καὶ ἀπαρχὰς τῶν ἁλισκομένων ἀνατιθέναι. Forte fuit olim h. l. θήραν ἐξιόντα καὶ ἀπὸ θήρας εὖ πράξαντα.

τῇ Θεῷ γε ἀποκαθαίρειν] Hæc vitioſa eſſe, patet. Primum verba τῇ Θεῷ pertinent ad priorem ſententiam, καὶ ἀνατιθέναι ἀπ. τῶν ἁλισκομένων τῇ Θεῷ. Sequentia qua ratione ſint emendanda, nondum reperi. ἀποκαθαίρειν certe vitioſum eſt cum particula γε. An voluit canes et venatores ante peragendum ſacrificium luſtrari propter cædem factam in venatione? Ita vero ſcribendum fuerit ἁλισκομένων τῇ Θεῷ, καὶ ἀποκαθαίρειν et cet.

Cap. XXXIII. 1. ἐπὶ μὲν λαγῷ] Vulgatum λαγωῷ correxi ex more Arriani.

CAPUT XXXIV.

Παραίνεσις πρὸς τὸ θύειν τοῖς Ἐφόροις τῶν ἐν ἀνθρώποις ἐπιτηδευμάτων.

1. Καὶ ἐγὼ ἅμα τοῖς συνθήροις ἕπομαι τῷ Κελτῶν νόμῳ, καὶ ἀποφαίνω, ὡς ȣ̓δὲν ἄνευ θεῶν γιγνόμενον ἀνθρώποις ἐς ἀγαθὸν ἀποτελευτᾷ. 2. Ἀλλὰ καὶ ὅσοι ναυτίλλονται, ἀπὸ θεῶν ἄρχονται, ὅσοις τε τοῦ σώζεσθαι μέλει, καὶ ἀνασωθέντες χαριστήρια θύουσι τοῖς θεοῖς τοῖς θαλαττίοις, Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηίσι· καὶ ὅσοι τὴν γῆν ἐργάζονται, Δήμητρι καὶ τῇ παιδὶ αὐτῆς καὶ Διονύσῳ· οἱ δὲ ἀμφὶ τὰς τέχνας πονούμενοι Ἀθηνᾷ καὶ Ἡφαίστῳ· καὶ οἱ ἀμφὶ παίδευσιν Μȣ́σαις καὶ Ἀπόλλωνι Μουσηγέτῃ καὶ Μνημοσύνῃ καὶ Ἑρμῇ· οἱ δὲ ἀμφὶ τὰ ἐρωτικὰ Ἀφροδίτῃ καὶ Ἔρωτι καὶ Πειθοῖ καὶ Χάρισιν. 3. Οὕτω τοι καὶ τοὺς ἐπὶ θήρᾳ ἐσπουδακότας ȣ̓ χρὴ ἀμελεῖν τῆς Ἀρτέμιδος τῆς Ἀγροτέρας ȣ̓δὲ Ἀπόλλωνος ȣ̓δὲ Πανὸς ȣ̓δὲ Νυμφῶν ȣ̓δὲ Ἑρμοῦ Ἐνοδίου καὶ Ἡγεμονίου, ȣ̓δὲ ὅσοι ἄλλοι ὄρειοι θεοί· 4. εἰ δὲ μὴ, ἡμιτελῆ ἀποβαίνειν ἀνάγκη τὰ σπουδάσματα· καὶ γὰρ καὶ οἱ κύνες βλάπτονται, καὶ οἱ ἵπποι χωλεύονται, καὶ οἱ ἄνθρωποι σφάλλονται.

CAPUT XXXV.

Ἐξ Ὁμήρου μαρτύρια, ὅτι χρὴ θύειν τοῖς τῶν πραγμάτων εὑρεταῖς ἐν τῇ τῶνδε μεταχειρίσει.

1. Καὶ τοῦτό γε δηλοῖ καὶ Ὅμηρος ἐν τῇ ποιήσει. Τεῦκρον μέν γε τὸν τοξικώτατον Ἑλλήνων ἐν τῷ ἀγῶνι ȣ̓ φησι τυχεῖν ὅτι μὴ τῆς μηρίνθου, καὶ ταύτην διακόψαι, ἐπειδὴ

Cap. XXXV. 1. μέν γε] Zeune μὲν γὰρ malebat. Locus Homericus eft in Iliade Ψ. 879.

ἐπειδὴ] Vulgato ἐπειδὰν Zeune fubftituit. Sed fupra cap. xxv. 9. reliquit οὐκ ἐπειδὰν τὰ κρέα ἄρα περὶ πολλοῦ ποιητέον ἀνδρί.

